




HERODOTOS.

FÜR DEN SCHULGEBRAUCH ERKLÄRT

VON

Dr. K. ABICHT,

OBERLEHRER AM GYMNASIUM ZU AURICH.

VIERTER BAND.

BUCH VII.

MIT ZWEI KARTEN.

(1. XERXES ZUG GEGEN GRIECHENLAND. 2. PLAN VON THERMOPYLAE.)



LEIPZIG,

DRUCK UND VERLAG VON B. G. TEUBNER.

1865.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΒΔΟΜΗ.

---

1 *ΕΠΕΙ ΔΕ ἡ ἀγγελίη ἀπίκετο περὶ τῆς μάχης τῆς ἐν Μαραθῶνι γενομένης παρὰ βασιλέα Δαρεῖον τὸν Ὑστάσπεος καὶ πρὶν μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι διὰ τὴν ἐς Σάρδις ἐσβολήν, καὶ δὴ καὶ τότε πολλῷ τε δεινότερα ἐποίεε καὶ μᾶλλον ὥρμητο στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. καὶ αὐτίκα μὲν ἐπηγγέλλετο πέμπων ἀγγέλους κατὰ πόλις ἑτοιμάζειν στρατιήν, πολλῷ πλέω ἐπιτάσσων ἑκάστοισι, ἢ πρότερον παρεῖχον, καὶ νέας τε καὶ ἵππους καὶ σῖτον [καὶ πλοῖα]. τούτων δὲ περιαγγελλομένων ἡ Ἀσίη ἐδονέετο ἐπὶ τρία ἔτεα καταλεγομένων τε τῶν ἀρίστων ὡς ἐπὶ τὴν Ἑλλάδα στρατευσομένων καὶ παρασκευαζομένων. τετάρτῳ δὲ ἔτεϊ Αἰγύπτιοι ὑπὸ Καμβύσεω*

Darius rüstet von neuem gegen Griechenland. Rangstreit unter seinen Söhnen. Sein Tod (c. 1—4).

1. 3. *κεχαραγμένον* exacerbatum. Zur Sache vgl. V 105.

ἐς Σάρδις. Die Stadt Sardes steht hier wie oft für die lydische Satrapie; häufig so *ὁ Σαρδίων ὕπαρχος* (V 25. 73. VI 1). Zur Sache vgl. V 99 ff.

4. *καὶ δὴ καί* dient hier wie sonst *οὕτω δή* und *ἐνθαῦτα δή* zur Hervorhebung des Nachsatzes. Wie hier c. 164 *δεινότερα ἐποίεε.* Die Wendung *δεινὸν ποιέειν* gebraucht Her. auch II 121. III 14. V 41. Häufiger indes ist die Verbindung *δεινόν τι ποιέεσθαι* (V 33. 42 öft.), oft auch ohne *τι* (c. 35).

5. *ὥρμητο στρατεύεσθαι* auch unt. und c. 4. Vgl. c. 19.

6. *κατὰ πόλις.* Beachte die Bedeutung von *κατά.* Gemeint sind die hellenischen Pflanzstädte an der kleinasiatischen Küste.

8. *καὶ πλοῖα.* Diese Worte fehlen in den besseren Handschriften (MPKF).

9. *ἐδονέετο* = *ἐκινέετο.* Das Activ IV 2.

ἐπὶ τρία ἔτεα. *ἐπί* c. Acc. bezeichnet das locale wie temporale Erstrecken über einen Raum hin. Vgl. III 59 *εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε.* Ebenso V 28. VI 98. 101. VII 119.

11. *τετάρτῳ ἔτεϊ.* Im Jahre 486 v. Chr.

δουλωθέντες ἀπέστησαν ἀπὸ Περσέων. ἐνθαῦτα δὴ καὶ μᾶλ-
2 λον ὥρμητο καὶ ἐπ' ἀμφοτέρους στρατεύεσθαι. Στελλομένου
δὲ Δαρείου ἐπ' Αἴγυπτον καὶ Ἀθήνας τῶν παίδων αὐτοῦ
στάσις ἐγένετο μεγάλη περὶ τῆς ἡγεμονίης, ὡς δεῖ μιν ἀπο-
δέξαντα βασιλέα κατὰ τὸν Περσέων νόμον οὕτω στρατεύεσθαι.
ἦσαν γὰρ Δαρείῳ καὶ πρότερον ἢ βασιλεῦσαι γεγονότες τρεῖς
παῖδες ἐκ τῆς προτέρης γυναικὸς, Γωβρύεω θυγατρὸς, καὶ
βασιλεύσαντι ἐξ Ἀτόσσης τῆς Κύρου ἕτεροι τέσσερες. τῶν μὲν
δὴ προτέρων ἐπρέσβευε Ἀρτοβαζάνης, τῶν δὲ ἐπιγενομένων
Ξέρξης. ἐόντες δὲ μητρὸς οὐ τῆς αὐτῆς ἐστασίαζον, ὁ μὲν
Ἀρτοβαζάνης, κατότι πρεσβύτατός τε εἴη παντὸς τοῦ γόνου
καὶ ὅτι νομιζόμενα εἴη πρὸς πάντων ἀνθρώπων τὸν πρεσβύτα-
τον τὴν ἀρχὴν ἔχειν, Ξέρξης δὲ, ὡς Ἀτόσσης τε παῖς εἴη τῆς
Κύρου θυγατρὸς καὶ ὅτι Κῦρος εἴη ὁ κτησάμενος τοῖσι Πέρσῃσι
3 τὴν ἐλευθερίην. Δαρείου δὲ οὐκ ἀποδεικνυμένου κω γνώμην
ἐτύγχανε κατὰ τὠυτὸ τούτοισι καὶ Δημάρητος ὁ Ἀρίστωνος

1. *καὶ μᾶλλον* „noch mehr". Wie hier I 65. 98 öft. In dieser Verbindung hat *καὶ* verstärkende Kraft (= noch); vgl. *καὶ μάλα, καὶ πάνυ*. Dagegen hat *καὶ* in 2 *καὶ ἐπ' ἀμφοτέρους* erklärende Kraft. Häufig so *καὶ ἀμφότεροι* = alle beide (c. 16).

2. 2. *στελλομένου. στέλλεσθαι* in gleicher Bedeutung c. 239.

4. *ὡς* ist gesetzt, weil in *στάσις ἐγένετο* der Begriff des Forderns liegt.

ἀποδέξαντα βασιλέα. ἀποδέξαι βασιλέα, στρατηγόν u. s. w. ist eine bei Her. häufige Verbindung. Vgl. c. 81 *οἱ ἀποδέξαντες χιλιάρχας*.

5. *οὕτω* nimmt nachdrücklich *ἀποδέξαντα* auf. Wie hier I 196. III 109. VII 150.

6. *πρότερον ἢ βασιλεῦσαι*. Auch c. 150 ist *πρότερον ἤ* (wie sonst *πρὶν ἤ*) mit Infin. verbunden. Zur Bedeutung des Aorists vgl. III 2 *νόθον οὔ σφι νόμος ἐστὶ βασιλεῦσαι*. Mit *ἐβασίλευσα* „wurde König" vgl. im folg. *βασιλεύσαντι*. Vgl. *ἐθάρσησα* „bekam Mut" *ἐπλούτησα, ἡγήσαντο* „wurden Führer" (I 95), *ἠράσθη* (I 8).

τρεῖς παῖδες. Artobazanes (bei Justin. II 10: Ariaemenes), Arsames, Ariabignes.

7. *Γωβρύεω*. Gobryas gehörte zu den Sieben. S. III 70 *Ἀτόσσης*. Unter den 6 Frauen des Darius (über diese s. z. III 88) hatte Atossa den meisten Einflusz. S. c. 3.

8. *ἕτεροι τέσσερες*. Xerxes, Achaemenes (c. 7), Masistes und Hystaspes (c. 82. 97. 64).

11. *κατότι*. Vgl. *διότι* (III 55).

12. *νομιζόμενα*. Der dichterische Plural der adjectivischen Neutra findet sich sehr häufig bei Her. Mit unserer Stelle vgl. I 212 *βεβουλευμένα ἔσται*. Oft finden sich so *δῆλα, ἀδύνατα, οἷά τέ ἐστι* (c. 16); auch die Adjectiva Verbalia auf *τέος* stehen so häufig im Plural, wie *ἀκουστέα ἐστί* III 67. *ποιητέα* c. 8, 4. *προςλογιστέα* VII 185. *πρός* steht bei *νομίζεσθαι* auch c. 10, 8. 151.

3. 16. *κατὰ τὠυτό* temporal, wie II 4 *ἐς τὠυτό*. *ὁ αὐτός* wird wie die Adjectiva und Adverbia, die den Begriff des Gleichen und Aehnlichen enthalten (*ἴσος, ὁμοῖος* u. s. w.), mit dem Dativ (*τούτοισι*) verbunden. Vgl. c. 72.

Δημάρητος. Des genaueren ist Demarats Geschichte VI 63 ff. erzählt.

ἀναβεβηκὼς ἐς Σοῦσα, ἐστερημένος τε τῆς ἐν Σπάρτῃ βασιληΐης καὶ φυγὴν ἐπιβαλὼν ἑωυτῷ ἐκ Λακεδαίμονος. οὗτος ὡνὴρ πυθόμενος τῶν Δαρείου παίδων τὴν διαφορήν, ἐλθών, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ συνεβούλευε λέγειν πρὸς τοῖσι ἔλεγε ἔπεσι, ὡς αὐτὸς μὲν γένοιτο Δαρείῳ ἤδη βασιλεύοντι καὶ ἔχοντι τὸ Περσέων κράτος, Ἀρτοβαζάνης δὲ ἔτι ἰδιώτῃ ἐόντι Δαρείῳ, οὐκ ὦν οὔτ' οἰκὸς εἴη οὔτε δίκαιον ἄλλον τινὰ τὸ γέρας ἔχειν πρὸ ἑωυτοῦ, ἐπεί γε καὶ ἐν Σπάρτῃ, ἔφη ὁ Δημάρητος ὑποτιθέμενος, οὕτω νομίζεσθαι, ἢν οἱ μὲν προγεγονότες ἔωσι πρὶν ἢ τὸν πατέρα σφέων βασιλεῦσαι, ὁ δὲ βασιλεύοντι ὀψίγονος ἐπιγένηται, τοῦ ἐπιγενομένου τὴν ἔκδεξιν τῆς βασιληΐης γίνεσθαι. χρησαμένου δὲ Ξέρξεω τῇ Δημαρήτου ὑποθήκῃ γνοὺς ὁ Δαρεῖος, ὡς λέγοι δίκαια, βασιλέα μιν ἀπέδεξε. δοκέει δ' ἐμοὶ καὶ ἄνευ ταύτης τῆς ὑποθήκης βασιλεῦσαι ἂν Ξέρξης· ἡ γὰρ Ἄτοσσα εἶχε τὸ πᾶν κράτος. Ἀποδέξας δὲ 4
βασιλέα Πέρσῃσι Δαρεῖος Ξέρξην ὥρμητο στρατεύεσθαι. ἀλλὰ γὰρ μετὰ ταῦτά τε καὶ Αἰγύπτου ἀπόστασιν τῷ ὑστέρῳ ἔτεϊ

2. *φυγὴν ἐπιβαλὼν ἑωυτῷ.* Er hatte sich freiwillig aus Sparta verbannt.

4. *ἡ φάτις μιν ἔχει.* In gleichem Sinne steht c. 26 *τὸν λόγος ἔχει*; doch hat diese letzte Wendung c. 5. eine andere Bedeutung. — Die auch VIII 94 und IX 84 wiederkehrende Verbindung *ἔχει τινὰ φάτις* hat an diesen Stellen eine andere Bedeutung (= *αἰτίην τινὰ ἔχει*). Mit unserer Stelle vgl. Pind. Pyth. I 96 *ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις*.

πρὸς τοῖσι ἔλεγε ἔπεσι erkläre aus *πρὸς τούτοισι ἔπεσι τὰ ἔλεγε*.

7. *οἰκὸς εἴη.* Zur Bedeutung von *οἰκός* vgl. I 137 *οὐ γὰρ δή φασι οἰκός εἶναι τὸν τοκέα ὑπὸ τοῦ παιδὸς ἀποθνήσκειν* und unt. c. 5. 150 *τὸ γέρας, τὸ Περσέων κράτος* (5).

8. *ἐπεί γε — νομίζεσθαι.* Da dem obliquen Satze *ὡς — γένοιτο* in Fortsetzung des obliquen Verhältnisses der Optativ gefolgt war (*οὐκ ὦν οἰκὸς εἴη*), so sollten wir statt des Infinitivs hier eigentlich den Optativ erwarten; doch findet sich auch in solchen Fällen, selbst nach Relativen und den Zeitconjunctionen *ὡς* (c. 170), *ὅτε, ἐπείτε, ἐς ὅ* (= *ἔστε* c. 171) der Infinitiv. Wie hier c. 150.

9. *ὑποτιθέμενος. ὑποτίθεσθαι* raten, auch I 90. 156 und unten c. 237.

10. *βασιλεῦσαι.* Ueber die Bedeutung des Aorists s. z. c. 2.

11. *τοῦ ἐπιγ. τὴν ἔκδεξιν τῆς βασιληΐης.* Zwei Genetive von einem Substantiv regiert. Vgl. VI 67 *κατὰ μὲν δὴ τὴν Δημαρήτου κατάπαυσιν τῆς βασιληΐης οὕτω ἐγένετο.*

15. *Ἄτοσσα — κράτος.* Wie unter Darius Atossa, so übte unter Xerxes dessen Gattin Amestris (IX 109), so wie unter Darius Nothus dessen Gattin Parysatis den gröszten Einflusz aus.

4. 16. *ἀλλὰ γάρ* sed enim. In der elliptischen Verbindung *ἀλλὰ γάρ* ist der Gedanke, zu welchem *γάρ* den Grund angibt, aus dem Zusammenhange zu ergänzen. Hier schwebt bei *ἀλλά* etwa vor: aber er wurde an der Ausführung gehindert, denn. Wie hier c. 143. Vgl. VI 123.

παρασκευαζόμενον συνήνεικε αὐτὸν Δαρεῖον, βασιλεύσαντα τὰ πάντα ἔτεα ἕξ τε καὶ τριήκοντα, ἀποθανεῖν, οὐδέ οἱ ἐξεγένετο οὔτε τοὺς ἀπεστεῶτας Αἰγυπτίους οὔτε Ἀθηναίους τιμωρήσασθαι. ἀποθανόντος δὲ Δαρείου ἡ βασιληΐη ἀνεχώρησε ἐς τὸν παῖδα τὸν ἐκείνου Ξέρξην. Ὁ τοίνυν Ξέρξης ἐπὶ μὲν τὴν Ἑλλάδα οὐδαμῶς πρόθυμος ἦν κατ' ἀρχὰς στρατεύεσθαι, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο τὴν στρατιῆς ἄγερσιν. παρεὼν δὲ καὶ δυνάμενος παρ' αὐτῷ μέγιστον Περσέων Μαρδόνιος ὁ Γωβρύεω, ὃς ἦν Ξέρξῃ μὲν ἀνεψιὸς, Δαρείου δὲ ἀδελφεῆς παῖς, τοιούτου λόγου εἴχετο, λέγων· Δέσποτα, οὐκ οἰκός ἐστι Ἀθηναίους ἐργασαμένους πολλὰ ἤδη κακὰ Πέρσας μὴ οὐ δοῦναι δίκας τῶν ἐποίησαν. ἀλλ' εἰ τὸ μὲν νῦν ταῦτα πρήσσοις, τάπερ ἐν χερσὶ ἔχεις, ἡμερώσας δὲ Αἴγυπτον τὴν ἐξυβρίσασαν στρατηλάτεε ἐπὶ τὰς Ἀθήνας, ἵνα λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώ-

1. συνήνεικε att. συνέβη; so unt. c. 10, II. 117. V 12. VI 23. 117. In demselben Sinne findet sich oft συνηνείχθη, z. B. VI 86.

τὰ πάντα: im ganzen. Ganz wie hier III 66. I 163. Darius regierte 522—486. Nach Ktesias Pers. § 19 regierte Darius nur 31 Jahre, wonach also Darius erst 516 auf den Thron gekommen sein könnte. Doch wird Herodots Angabe auch durch andere Schriftsteller bestätigt.

2. ἐξεγένετο = ἐξῆν, so auch unt. c. 8, II. V 51. 105.

5. Mardonius, die Aleuaden, die Pisistratiden, Onomacritus treiben den Xerxes an gegen Hellas zu ziehen (c. 5 u. 6).

6. κατ' ἀρχάς auch III 158. V 92 VI.

8. Γωβρύεω. Ueber Gobryas s. z. c. 2.

9. Δαρείου δὲ ἀδελφ. παῖς. Mardonius, der Neffe des Darius, war durch seine Heirat mit der Artozostre, der Tochter des Darius, auch Schwiegersohn desselben geworden. Vgl. c. 82.

10. τοιούτου. τοιοῦτος (wie οὗτος und οὕτω) bezieht sich in der Regel auf das Vorhergehende. Wie hier ist es auf das Folgende bezogen auch V 49 II öfter. Sonst wird zur Hinweisung auf das Folgende meist τοιόσδε (ὅδε u. ὧδε) gebraucht. Vgl. c. 84 (ταῦτα für τάδε).

λόγου εἴχετο. Dieselbe Wendung c. 6.

οἰκός in gleicher Bedeutung c. 3.

11. μὴ οὐ. Nach negativen Sätzen, so wie nach Begriffen, die eine Negation involvieren, steht beim Infinitiv μὴ οὐ statt μή. Vgl. I 187.

12. ἀλλ' εἰ — πρήσσοις. Durch εἰ (ἀλλ' εἰ) c. opt. in wünschenden Bedingungssätzen wird neben dem Wunsche zugleich eine Aufforderung in milder Form ausgedrückt. Der Sinn ist also: „Aber wohlan, wie wäre es wenn du erst das ausführtest, was du zunächst vorhast“. Häufig findet sich εἰ (ἀλλ' εἰ) c. opt. in diesem Sinne bei Homer. Vgl. Il. Π 558

κεῖται ἀνὴρ ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών. ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα, καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέι χαλκῷ.

Aehnlich Il. Ο 569. öfter.

13. ἐν χερσὶ ἔχειν. Dieselbe Wendung I 35 ἔχοντος (Κροίσου) ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον und unten c. 47.

14. ἵνα λόγος τέ σε ἔχῃ. Die-

πων ἀγαθὸς καί τις ὕστερον φυλάσσηται ἐπὶ γῆν τὴν σὴν στρατεύεσθαι. Οὗτος μέν οἱ ὁ λόγος ἦν τιμωρὸς, τούτου δὲ τοῦ λόγου παρενθήκην ποιεέσκετο τήνδε, ὡς ἡ Εὐρώπη περικαλλὴς χώρη, καὶ δένδρεα παντοῖα φέρει τὰ ἥμερα, ἀρετήν τε ἄκρη, βασιλέϊ τε μούνῳ θνητῶν ἀξίη κεκτῆσθαι. Ταῦτα δὲ 6
ἔλεγε οἷα νεωτέρων ἔργων ἐπιθυμητὴς ἐὼν καὶ ἐθέλων αὐτὸς τῆς Ἑλλάδος ὕπαρχος εἶναι. χρόνῳ δὲ κατεργάσατό τε καὶ ἀνέπεισε Ξέρξην ὥστε ποιέειν ταῦτα. συνέλαβε γὰρ καὶ ἄλλα οἱ σύμμαχα γενόμενα ἐς τὸ πείθεσθαι Ξέρξην· τοῦτο μὲν ἀπὸ

selbe Wendung in gleichem Sinne IX 78 σὺ δὲ — ποίησον, ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων καί τις ὕστερον φυλάσσηται τῶν βαρβάρων μὴ ὑπάρχειν ἔργα ἀτάσθαλα ποιέων ἐς τοὺς Ἕλληνας. Eine andere Bedeutung hat diese Wendung c. 26. S. z. c. 3 (φάτις τινὰ ἔχει).

1. τὶς dem Sinne nach häufig = ἕκαστος. Vgl. die in vor. Anm. ausgeschriebene Stelle (IX 78). S. auch VI 9.

2. τιμωρός nicht allgemein in dem Sinne von σύμμαχος (c. 64) zu fassen, sondern = zur Rache auffordernd.

3. παρενθήκη Zugabe, Zusatz, auch I 186. VI 19.

ποιεέσκετο. Beachte die Bedeutung der Iterativform.

τήνδε. Die Pronomina richten sich als Subject oder (wie hier) als Object im Numerus und Genus meist nach dem Praedicat oder (wie hier) nach der ihnen beigefügten Apposition (hier παρενθήκην = als Zusatz). Ganz wie hier c. 8, I (νόμον τόνδε). Vgl. c. 41. 95.

ὡς ἡ Εὐρώπη περικαλλὴς χώρη. In ähnlicher Weise preist Aristagoras den Spartanern gegenüber die Fruchtbarkeit und Reichtümer Asiens, als er sie auffordert den Ionern zu Hülfe zu ziehen (V 49).

4. τὰ ἥμερα „fruchttragende" Gegens. ἄγρια. Nur die ersten kommen hier in Betracht, da sie von der Cultur des Bodens ein rühmliches Zeugnis abgeben.

ἀρετή von der Güte des Bodens auch IV 198. VIII 144.

5. ἀξίη κεκτῆσθαι. Beachte das Genus des Infinitivs. Vgl. IV 42 Εὐρώπη εὖρεος πέρι οὐδὲ συμβαλεῖν (τῇ Λιβύῃ) ἀξίη φαίνεταί μοι εἶναι. Anders III 125 ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρεπείην συμβληθῆναι.

6. 6. οἷα quippe, utpote wird wie das gleichlautende ἅτε (c. 188) und ὥστε (c. 129) öfter wie hier mit Particip verbunden. Vgl. c. 119. Alle drei bezeichnen den objectiven in der Sache liegenden Grund, während ὡς mehr eine subjective Meinung oder Voraussetzung angibt (= fühlend, wähnend dasz, angenommen dasz). Vgl. c. 16. 23. 49.

νεωτέρων ἔργων ἐπιθυμητής rerum novarum cupidus. Vgl. c. 52.

7. ὕπαρχος ist bei Her. stehende Bezeichnung für Satrap. Vgl. c. 26. IV 166. V 20. 25. 27.

χρόνῳ δὲ postremo autem. Wie hier I 80. III 13. V 77. Verschieden ist χρόνον aliquamdiu I 175. öft.

κατεργάσατο. Auch hierzu ist Ξέρξην Object. Unser deutsches bearbeiten gebrauchen auch wir in demselben Sinne. Plut. Fab. 21 verbindet ebenfalls ἐκπεῖσαί τε καὶ κατεργάσασθαι τὸν ἄνθρωπον.

8. ὥστε nach πείθειν auch VI 5.

συνέλαβε — ἄλλα „es halfen ihm noch andere Umstände". Vgl. VI 125 τοῖσι Λυδοῖσι συμπρήκτωρ τε ἐγίνετο καὶ συνελάμβανε προθύμως.

9. τοῦτο μὲν — τοῦτο δέ = τὸ μὲν — τὸ δέ adverbartig. So häufig bei Herodot. Vgl. c. 50. 119. 156. Uebrigens ist an unserer Stelle das Asyndeton zu beachten; ein At-

τῆς Θεσσαλίης παρὰ τῶν Ἀλευαδέων ἀπιγμένοι ἄγγελοι ἐπεκαλέοντο βασιλέα πᾶσαν προθυμίην παρεχόμενοι ἐπὶ τὴν Ἑλλάδα (οἱ δὲ Ἀλευάδαι οὗτοι ἦσαν Θεσσαλίης βασιλέες), τοῦτο δὲ Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι, καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσωρέγοντό οἱ, ἔχοντες Ὀνομάκριτον ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου. ἀναβεβήκεσαν γὰρ τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάθη

tiker hätte auf τοῦτο μέν ein γάρ folgen lassen. Vgl. c. 8, II (πρῶτα μέν).

1. Ἀλευαδέων. Das berühmte Herschergeschlecht der Aleuaden hatte seinen Stammsitz in Larissa, wie die Skopaden in Krannon (VI 127). Zu Zeiten scheint ihre Macht der königlichen ähnlich gewesen zu sein; jedenfalls übten sie zu allen Zeiten einen weitgreifenden Einflusz auf die Geschichte der Staaten Thessaliens aus. In dieser Zeit hatten sie sich gegen Griechenland mit den Persern verbunden, wahrscheinlich um an diesen eine Stütze gegen andere mächtige Adelsgeschlechter zu haben. Vgl. c. 172. IX 1. 58.

2. πᾶσαν προθυμίην παρεχόμενον. Vgl. Thuc. IV 85 πᾶν τὸ πρόθυμον παρεχόμενοι.

ἐπὶ τὴν Ἑλλάδα verbinde mit ἐπεκαλέοντο.

3. βασιλέες. S. ob. z. 1. Die Ansprüche auf die königliche Würde begründeten die Aleuaden wahrscheinlich auf ihre Abkunft von dem Herakliden Aleuas, der sich der Herschaft Thessaliens bemächtigte, aber zuletzt wegen seiner Grausamkeit von seinen eigenen Leuten erschlagen wurde. Vgl. Pind. Pyth. X 5. Auch der Tagos d. h. der oberste Kriegsherr, unter dessen Leitung in Kriegszeiten das Bundesheer aller thessalischen Staaten stand, wurde in der Regel aus dem Geschlechte der Aleuaden gewählt. Her. nennt sie IX 1 Θεσσαλίης ἡγεόμενοι.

τοῦτο δέ erg. ἐπεκαλέοντο.

4. Πεισιστρατιδέων — ἐς Σοῦσα. Vgl. V 62. 90–96. VI 94. 107.

5. λόγων ἐχόμενοι. Vgl. c. 5 τοιούτου λόγου εἴχετο.

6. προσωρέγοντο. Uebergang vom Participium (ἐχόμενοι) zum Verbum finitum; wir erwarteten προσωρεγόμενοι. — προσορέγεσθαι, synonym mit προσφέρεσθαι (s. u.) und προσκεῖσθαι (I 123) findet sich nur hier.

Ὀνομάκριτον. Onomakritos lebte am Hofe des Pisistratus und seiner Söhne, die ihm die Redaction der homerischen Gedichte übertrugen. Herodot nennt ihn χρησμολόγος und bezeichnet damit 1), dasz O. als gottbegeisterter Seher (μάντις) selbst geheimnisvolle Spruchweisheit dichtete, wie denn z. B. die chresmologischen Sprüche und Staatsorakel, die auf der Akropolis aufbewahrt wurden, zum Teil von ihm herrührten, und 2) dasz er ältere Seheraussprüche erklärte u. auslegte. Eine dritte Seite der Tätigkeit des Onomakritos bezeichnet Her., indem er ihn διαθέτης χρησμῶν τῶν Μουσαίου, d. h. Sammler und Ordner der alten Weissagungen und Orakelsprüche nennt, welche unter des Musaios Namen gingen. Auch die orphischen Weissagungen wurden von ihm gesammelt und geordnet, aber ebenfalls wie die des Musaios mit Zusätzen von ihm versehen und gefälscht. Später (seit Aristoteles) glaubte niemand mehr, dasz ein Musaios und Orpheus wirklich existiert habe und sah die ihnen zugeschriebenen χρησμοί als Machwerke des Onomakritos und anderer an. Vgl. Cic. de nat. Deor. I 38.

8. τὴν ἔχθρην. Häufig weist der Artikel anticipierend auf eine

γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμὸν, ὡς αἱ ἐπὶ Λήμνῳ ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης. διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεόμενος τὰ μάλιστα. τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ σεμνοὺς λόγους κατέλεγε τῶν χρησμῶν. εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρβάρῳ, τῶν μὲν ἔλεγε οὐδὲν, ὁ δὲ τὰ εὐτυχέστατα ἐκλεγόμενος ἔλεγε τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὼν εἴη ὑπ' ἀνδρὸς Πέρσεω, τήν τε ἔλασιν

erst im Folgenden zu gebende Erläuterung hin. Wie hier V 35.

1. *Ἱππάρχου.* Hipparch begünstigte vorzugsweise Kunst und Wissenschaft; sein Streben war vor allem auf Förderung der Geistescultur gerichtet und ein Kreis von Dichtern wie Lasos, Anakreon und Simonides lebten an seinem Hofe. Vgl. Plat. Hipp. 228, 6 C.

2. *ἐπ' αὐτοφώρῳ ἁλούς* auf frischer Tat ertappt. Ebenso VI 72. 137.

Λάσου. Lasos von Hermione in Argolis (um Ol. 68) hatte am Hof der Pisistratiden eine ehrenvolle Aufnahme gefunden. Er bildete (nach Arion vgl. I 23) den Dithyrambos als Kunstgattung aus und war der Lehrer des Pindar in der lyrischen Poesie und Musik.

3. *αἱ ἐπὶ Λήμνῳ ἐπικείμεναι νῆσοι ἀφανιζοίατο.* In Folge der vulkanischen Beschaffenheit des Bodens von Lemnos wurde diese Insel öfter von Erdbeben heimgesucht, auch ereignete es sich wol, dasz Inseln in seiner Nähe emporgehoben wurden, aber auch wieder versanken. So berichtet uns z. B. Pausanias VIII 33, 2 von der kleinen, Lemnos benachbarten Insel Chryse, auf welcher der Sage nach Philoktet von einer Schlange gebissen wurde, dasz sie ins Meer versunken sei. Auf das Verschwinden dieser oder anderer Inseln um Lemnos bezog sich die Interpolation des Onomakritos, indem er einen Seherspruch, der in Wirklichkeit von ihm selbst verfertigt war, in die von ihm besorgte Sammlung der Weissagungen des Musaios aufnahm.

4. *διό* auch c. 8, 1.

5. *χρεόμενος* sc. *αὐτῷ.* Hipparch hatte bei seinen literarischen Bestrebungen vorzugsweise des Onomakritos Dienste benutzt.

τὰ μάλιστα. Sonst auch mit *ἐς* wie VI 63. Wie hier II 147 *εἶναι τε φίλους τὰ μάλιστα* und unt. c. 37. Das einfache *μάλιστα* VI 65.

6. *ὅκως* c. opt. wie häufig in iterativer Bedeutung. Wie hier c. 41.

7. *χρησμῶν.* Der Genetiv von dem unbestimmten Teile eines Ganzen.

8. *ἐνέοι.* Diese epische Optativform nur hier. Vgl. Dial. Bd. I S. 39.

9. *ὁ δέ.* Treten zwei Handlungen desselben Subjects in Gegensatz, so denkt sich der Grieche, dasz auch das handelnde Subject mit sich in Gegensatz trete, und gebraucht daher *ὁ δέ*, obwol dasselbe Subject bleibt. Ebenso ist *οὐδέ* gebraucht c. 10, VII. Wie hier c. 13. 125. 156. 159.

10. *χρεὼν εἴη* von Schicksalsbestimmungen auch c. 17. Vgl. VIII 141 *σφέας χρεών ἐστι ἐκπίπτειν ἐκ Πελοποννήσου.*

τήν τε ἔλασιν ist nur in einen äuszerlichen Parallelismus zu *τόν τε Ἑλλήσποντον* gesetzt; beides sind Objecte zu *ἔλεγε*, doch ist das erste (*τόν τε Ἑλλ.*) durch einen Satz näher ausgeführt (*ὡς — χρεὼν εἴη*), während das zweite in veränderter

ἐξηγεόμενος. οὗτός τε δὴ χρησμῳδέων προσεφέρετο, καὶ οἵ τε
7 Πεισιστρατίδαι καὶ οἱ Ἀλευάδαι γνώμας ἀποδεικνύμενοι. Ὡς
δὲ ἀνεγνώσθη Ξέρξης στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἐνθαῦτα
δευτέρῳ μὲν ἔτεϊ μετὰ τὸν θάνατον τὸν Δαρείου πρῶτα στρα-
τηΐην ποιέεται ἐπὶ τοὺς ἀπεστεῶτας. τούτους μέν νυν κατα-
στρεψάμενος καὶ Αἴγυπτον πᾶσαν πολλὸν δουλοτέρην ποιήσας,
ἢ ἐπὶ Δαρείου ἦν, ἐπιτράπει Ἀχαιμένεϊ, ἀδελφεῷ μὲν ἑωυ-
τοῦ, Δαρείου δὲ παιδί. Ἀχαιμένεα μέν νυν ἐπιτροπεύοντα Αἰ-
γύπτου χρόνῳ μετέπειτεν ἐφόνευσε Ἰνάρως ὁ Ψαμμιτίχου ἀνὴρ
8 Λίβυς. Ξέρξης δὲ μετὰ Αἰγύπτου ἅλωσιν ὡς ἔμελλε ἐς χεῖρας
ἄξεσθαι τὸ στράτευμα τὸ ἐπὶ τὰς Ἀθήνας, σύλλογον ἐπίκλητον
Περσέων τῶν ἀρίστων ἐποιέετο, ἵνα γνώμας τε πύθηται σφέων
καὶ αὐτὸς ἐν πᾶσι εἴπῃ τὰ θέλει. Ὡς δὲ συνελέχθησαν, ἔλεξε
I Ξέρξης τάδε· Ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς κατηγήσομαι νόμον

Structur durch ein unmittelbar an ἔλεγε angeschlossenes Particip seine Erklärung erhält.

1. ἐξηγεόμενος. Er gab Mittel und Wege an, wie das Unternehmen ins Werk gesetzt werden müsse.

προσεφέρετο sc. αὐτῷ, dafür ob. προσωρέγετο.

2. γνώμας ἀποδεικνύμενοι. Dieselbe Wendung ob. c. 3.

7. Unterwerfung Aegyptens. Beratung des Xerxes mit Mardonios und Artabanos (c. 7—11).

3. ἀνεγνώσθη = ἀνεπείσθη. Wie hier c. 236.

4. μετὰ τὸν θάνατον τ. Δαρ. S. z. c. 4.

7. Ἀχαιμένεϊ. Vgl. c. 97. 236. Er wurde später in dem Aufstand der Aegypter (462) gegen Artaxerxes unter Inaros getötet.

8. ἐπιτροπεύειν c. genet. auch c. 62.

9. χρόνῳ μετέπειτεν. Aehnliche Abundanzen sind sehr häufig bei Herod. Vgl. III 36 οὐ πολλῷ μετέπειτεν χρόνῳ ὕστερον. Aehnlich c. 33.

Ἰνάρως. Unter ihm empörten sich die Aegypter gegen die Perser. Der Verlauf des Kampfes und der Ausgang des Inaros ist z. III 15 erzählt.

8. 10. ἐς χεῖρας ἄγεσθαι suscipere. Vgl. IV 79 μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν ἐγένετο τοιόνδε.

11. στράτευμα hier wie oft bei Her. = στρατηΐη. Vgl. VIII 112. IX 33.

ἐπίκλητον. Sonst von Personen. Vgl. VIII 101 ὁ δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι (= Auserlesenen). Ebenso IX 42. In Athen hiesz eine auszerordentliche, aus auserlesenen Personen zusammengesetzte Volksversammlung: σύγκλητος ἐκκλησία. Vgl. Soph. Antig. 160 (Κρέων) σύγκλητον τήνδε γερόντων προὔθετο λέσχην.

12. πύθηται. Beachte den Conjunctiv nach einer historischen Zeitform. Repraesentatio.

13. συνελέχθησαν. συνελέχθην bei Herodot häufiger als συνελέγην. Das umgekehrte Verhältnis findet im Attischen statt.

I. Die ganze folgende Rede des Xerxes hat Dionysios v. Halic. (de vi dicendi in Demosth. § 41) in den attischen Dialect übertragen, indem er sie als Beweis dafür anführt, dasz Herodots Darstellungsform die Mitte halte zwischen der erhabenen und einfachen Stilgattung, da in ihr schwungvolle Fülle des Ausdrucks mit kunstloser und doch lieblicher Einfachheit der Rede gepaart seien.

14. οὔτε — τε = nec (non solum

τόνδε ἐν ὑμῖν τιθεὶς, παραδεξάμενός τε αὐτῷ χρήσομαι. ὡς γὰρ ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδαμά κω ἠτρεμήσαμεν, ἐπείτε παρελάβομεν τὴν ἡγεμονίην τήνδε παρὰ Μήδων Κύρου κατελόντος Ἀστυάγεα· ἀλλὰ θεός τε οὕτω ἄγει καὶ αὐτοῖσι ἡμῖν πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον. Τὰ μέν νυν Κῦρός τε καὶ Καμβύσης πατήρ τε ὁ ἐμὸς Δαρεῖος κατεργάσαντο καὶ προσεκτήσαντο ἔθνεα, ἐπισταμένοισι εὖ οὐκ ἂν τις λέγοι. ἐγὼ δὲ ἐπείτε παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντιζον, ὅκως μὴ λείψομαι τῶν πρότερον γενομένων τιμῇ τῇδε μηδὲ ἐλάσσω προσκτήσομαι δύναμιν Πέρσῃσι· φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος ἡμῖν προσγινόμενον χώρην τε τῆς νῦν κεκτήμεθα οὐκ ἐλάσσονα οὐδὲ φλαυροτέρην, παμφορωτέρην δὲ, ἅμα δὲ τιμωρίην τε καὶ τίσιν γινομένην. διὸ ὑμέας νῦν ἐγὼ συνέλεξα, ἵνα τὸ νοέω πρήσσειν ὑπερθέωμαι ὑμῖν. Μέλλω II

non) — et (sed etiam). Vgl. c. 37. 96. 129. 159. 208. 231.

κατηγήσομαι. κατηγέεσθαι hier nicht in erster Bedeutung „Führer sein" wie c. 130. 215 sondern so viel wie „Anleitung zu etwas geben" einführen. Wie hier II 56.

1. *τόνδε.* S. z. c. 5 (*τήνδε*).

παραδεξάμενος — χρήσομαι. Zum Gedanken vgl. Thuk. V 105 *καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον, οὔτε κειμένῳ πρῶτοι χρησάμενον, ὄντα δὲ παραλαβόντες καὶ ἐσόμενον ἐς αἰεὶ καταλείψοντες χρώμεθα αὐτῷ.*

3. *ἐπείτε* seit, auch c. 59.

4. *καταιρέειν τινά* jem. unterdrücken, auch I 124. V 46. VIII 82. Aus dieser Bedeutung entwickelt sich leicht die zweite bewältigen, erringen c. 50. Aehnlich IX 35 (*ἀγῶνας συγκαταιρέειν*).

θεὸς οὕτω ἄγει (= fügt). Vgl. Xen. Anab. VI 1, 18 *ὁ θεὸς ἴσως οὕτω ἄγει.* Soph. Oed. Col. 992 *θεῶν ἀγόντων.*

5. *αὐτοῖσι — ἐπέπουσι.* Das *ἐπέπειν* (= folgen) ist in Beziehung zu dem *ἄγειν* (= führen) gesetzt. Der Sinn ist: Wir betreiben vieles nach der Fügung und dem Willen der Götter.

συμφέρεται ἐπὶ τὸ ἄμεινον „es schlägt uns zum Guten aus". Aehnlich IX 15 *τὴνδε Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι, πειθομένοισι δὲ ἄμεινον συνοίσεσθαι.* Ebenso V 82. Aehnlich unt. c. 158 *ἐπὶ τὸ ἄμεινον ἡμῖν κατέστη.*

7. *κατεργάσαντο* subegerunt. Vgl. I 201 *ὡς δὲ τῷ Κύρῳ καὶ τοῦτο τὸ ἔθνος κατέργαστο.* Wie hier c. 211.

ἐπισταμένοισι οὐκ ἂν λέγοι. Vgl. III 103 *ἐπισταμένοισι Ἕλλησι οὐ συγγράφω.*

9. *ὅκως* c. indic. Fut. Das (ursprünglich modale) *ὅκως* ist als ein quomodo zu fassen, woraus sich der Indicativ erklärt. Das Futurum spricht die Realisierung der Absicht bestimmter als der Conjunct. Aor. aus, der sonst meist mit dem finalen *ὅκως* (*ὅπως*) verbunden wird. Wie hier c. 18. III 36. V 109. unt. c. 159.

λείψομαι. λείπεσθαί τινός hinter jemandem zurückbleiben. *λείπεσθαι* c. Gen., auch c. 48. 86.

11. *προσγινόμενον* näml. wenn das Unternehmen gelingt. Xerxes drückt damit zuversichtlich seine Siegesgewissheit aus.

13. *διὸ* auch c. 6.

14. *ὑπερθέωμαι.* Derselbe Conjunctiv V 24. *ὑπερτίθεσθαι* mitteilen auch c. 18. V. 24. 56.

ζεύξας τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθηναίους τιμωρήσωμαι, ὅσα δὴ πεποιήκασι Πέρσας τε καὶ πατέρα τὸν ἐμόν. ὡρᾶτε μέν νυν καὶ Δαρεῖον ἰθύοντα στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους. ἀλλ᾽ ὁ μὲν τετελεύτηκε καὶ οὐκ ἐξεγένετό οἱ τιμωρήσασθαι, ἐγὼ δὲ ὑπέρ τε ἐκείνου καὶ τῶν ἄλλων Περσέων οὐ πρότερον παύσομαι, πρὶν ἢ ἕλω τε καὶ πυρώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ καὶ πατέρα τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιεῦντες· πρῶτα μὲν ἐς Σάρδις ἐλθόντες ἅμα Ἀρισταγόρῃ τῷ Μιλησίῳ, δούλῳ δὲ ἡμετέρῳ, ἀπικόμενοι ἐνέπρησαν τά τε ἄλσεα καὶ τὰ ἱρὰ, δεύτερα δὲ ἡμέας οἷα ἔρξαν ἐς τὴν σφετέρην ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ
III *Ἀρταφέρνης ἐστρατήγεον, ἐπίστασθέ κου πάντες. Τούτων μέντοι εἵνεκεν ἀνάρτημαι ἐπ᾽ αὐτοὺς στρατεύεσθαι, ἀγαθὰ δὲ ἐν αὐτοῖσι τοσάδε ἀνευρίσκω λογιζόμενος· εἰ τούτους τε καὶ τοὺς τούτοισι πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυγὸς νέμονται χώρην, γῆν τὴν Περσίδα ἀποδέξομεν τῷ Διὸς αἰθέρι ὁμουρέουσαν. οὐ γὰρ δὴ χώρην γε οὐδεμίαν κατ-*

II. 4. *ἰθύοντα. ἰθύειν* mit dem Infinit. auch III 39 *ὅκοι γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε εὐτυχέως.*

5. *ἐξεγένετο.* S. z. c. 4.

7. *πρὶν ἤ.* Dafür unt. c. 54 *πρότερον ἤ.* Im Attischen würde *ἤ* fehlen, dagegen *ἄν* hinzugefügt sein. Wie hier c. 10. 197. IX 93. 117. Mit *ἄν* IV 117. V 106. öft.

πυρώσω. Vgl. VIII 102 *σὺ δὲ τῶν εἵνεκεν τὸν στόλον ἐποιήσαο, πυρώσας τὰς Ἀθήνας ἀπελᾶς. — οἵ.* Wie hier *οἵ* so ist II 90 *τούτους*, III 154. 135 *αὐτούς* auf eine Stadt bezogen.

8. *ὑπῆρξαν ποιεῦντες. ὑπάρχειν* mit Particip auch VI 133 *οἱ Πάριοι ὑπῆρξαν πρότεροι στρατευόμενοι τριήρεϊ ἐς Μαραθῶνα ἅμα τῷ Πέρσῃ.*

πρῶτα μέν. Dasselbe Asyndeton wie c. 6. *ἐς Σάρδις ἐλθόντες.* Erzählt V 101 ff.

9. *ἅμα Ἀρισταγόρῃ.* Aristagoras selbst hatte den Zug nicht gemacht, sondern seinem Bruder Charopinos die Führung der Milesischen Truppen übertragen. Vgl. V 99. Xerxes nennt ihn hier, weil er in Wirklichkeit der Urheber des Krieges gewesen war.

δούλῳ δέ. Zum Gebrauch von *δέ* bei epanaleptischen Appositionen (wie hier *δούλῳ*) vgl. II 134 *Ῥοδῶπις δούλη ἦν Ἰάδμονος, ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ.* Ebenso c. 10. I 30. 121. 155.

11. *ἡμέας* ist nachdrücklich vorangestellt.

ἔρξαν (ῥέζω). Diesen dichterischen Aor. hat Her. auch V 65 *ὅσα δὲ ἐλευθερωθέντες ἔρξαν ἢ ἔπαθον.*

12. *κου* vermutlich. Häufig so auch *κως.*

III. 13. *ἀνάρτημαι.* Das Perfectum von *ἀναρτέεσθαι* „sich anschicken" noch I 90. VI 88.

14. *ἐν αὐτοῖσι* sc. *πρήγμασι.* Wie hier c. 10, 1. 11. 50. 14 (*ἐξ αὐτῶν* = daraus); ebenso *ἐν αὐτῷ* dabei, darin c. 46.

16. *τῷ Διὸς αἰθέρι ὁμουρέουσαν.* Nach der Vorstellung der Alten stöszt an die Grenzen der Erde der Himmelsraum, der sich als Halbkugel über der Erdscheibe wölbt. Zum Ausdruck *Διὸς αἰθήρ*

ὄψεται ἥλιος ὁμουρέουσαν τῇ ἡμετέρῃ, ἀλλά σφεας πάσας ἐγὼ ἅμα ὑμῖν μίαν χώρην θήσω, διὰ πάσης διεξελθὼν τῆς Εὐρώπης. πυνθάνομαι γὰρ ὧδε ἔχειν, οὔτε τινὰ πόλιν ἀνδρῶν οὐδεμίαν οὔτε ἔθνος οὐδὲν ἀνθρώπων ὑπολείπεσθαι, τὸ ἡμῖν οἷόν τε ἔσται ἐλθεῖν ἐς μάχην, τούτων τῶν κατέλεξα ὑπεξαραιρημένων. οὕτω οἵ τε ἡμῖν αἴτιοι ἕξουσι δούλιον ζυγὸν οἵ τε ἀναίτιοι. Ὑμεῖς δ' ἄν μοι τάδε ποιεῦντες χαρίζοισθε· ἐπεὰν IV
ὑμῖν σημήνω τὸν χρόνον, ἐς τὸν ἥκειν δεῖ, προθύμως πάντα τινὰ ὑμέων χρήσει παρεῖναι· ὃς ἂν δὲ ἔχων ἥκῃ παρεσκευασμένον στρατὸν κάλλιστα, δώσω οἱ δῶρα, τὰ τιμιώτατα νομίζεται εἶναι ἐν ἡμετέρου. ποιητέα μέν νυν ταῦτά ἐστι οὕτω, ἵνα δὲ μὴ ἰδιοβουλέειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς μέσον, γνώμην κελεύων ὑμέων τὸν βουλόμενον ἀποφαίνεσθαι.
Ταῦτα εἴπας ἐπαύετο. Μετ' αὐτὸν δὲ Μαρδόνιος ἔλεγε. Ὦ 9
δέσποτα, οὐ μοῦνον εἷς τῶν γενομένων Περσέων ἄριστος, ἀλλὰ καὶ τῶν ἐσομένων, ὃς τά τε ἄλλα λέγων ἐπίκεο ἄριστα

vgl. I 131 οἱ Πέρσαι τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέουσι.

1. σφέας. Die Formen σφεῖς, σφέων, σφίσι (σφι), σφέας sowie μιν braucht Herod. nicht allein von Personen; vgl. c. 194, 195. V 114. VI 82.

5. ὑπεξαραιρημένων von ὑπεξαιρέειν aus dem Wege schaffen, beseitigen.

6. ἡμῖν αἴτιοι. Zum Dativ vgl. I 45 εἷς δὲ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος.

δούλιον ζυγόν ein poetischer Ausdruck. Aehnl. Aesch. Pers. 50 Πέρσαι στεῦνται ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι. Vgl. auch das homerische δούλιον ἦμαρ.

IV. 8. ἐς τὸν ἥκειν δεῖ. Zum Gebrauch von ἐς vgl. I 77 ἐπήγγειλε δὲ καὶ Λακεδαιμονίους παρεῖναι ἐς χρόνον ῥητόν, ibid. προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι ἐς Σάρδις.

πάντα τινά. τὶς in Verbindungen wie πᾶς τις, πολλός τις, ὀλίγοι τινές u. a. hat als Ausdruck der Unbestimmtheit beschränkende Kraft. Vgl. c. 42.

9. ὃς ἂν δέ. Die Stellung ist ungewöhnlich; wie hier I 138. Anders (ὃς δ' ἄν) III 72, wo vorhergeht ὃς ἂν μέν.

10. δώσω οἱ. Statt des (schwächeren) persönlichen Pronomens erwarteten wir das Demonstrativ. Doch vgl. II 172 ἐκ τῆς δὲ ἦν πόλιος, οὔνομά οἵ ἐστι Σιούφ. Ebenso I 5. II 135.

τὰ τιμιώτατα νομίζεται εἶναι. Vgl. Xen. Anab. I 2, 27 Κῦρος μὲν ἐκείνῳ δῶρα (ἔδωκεν) ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια, καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν. Vgl. auch zu III 20.

11. ἐν ἡμετέρου ungewöhnlich für ἐν ἡμῶν sc. οἴκῳ. Ganz wie hier I 35 ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς μένων ἐν ἡμετέρου.

ποιητέα. Ueber den Plural s. z. c. 2.

12. τίθημι — ἐς μέσον. Vgl. IV 97 ἐγὼ δὲ γνώμην μὲν, τὴν εὑρίσκον ἀρίστην σοὶ, βασιλεῦ, ἐς μέσον φέρω. ἐς μέσον = zu gemeinschaftlicher Beratung. Derselbe Ausdruck noch III 62. VI 129. 130.

9. 15. εἷς. Attisch?

16. ἐπικέσθαι durchgehen, erörtern (vgl. lat. persequi).

καὶ ἀληθέστατα, καὶ Ἴωνας τοὺς ἐν τῇ Εὐρώπῃ κατοικημένους
οὐκ ἐάσεις καταγελάσαι ἡμῖν ἐόντας ἀναξίους. καὶ γὰρ δεινὸν ἂν
εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς καὶ Αἰθίοπας καὶ Ἀσσυρί-
ους ἄλλα τε ἔθνεα πολλὰ καὶ μεγάλα ἀδικήσαντα Πέρσας οὐδὲν,
ἀλλὰ δύναμιν προσκτᾶσθαι βουλόμενοι, καταστρεψάμενοι δού-
λους ἔχομεν, Ἕλληνας δὲ ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα.
τί δείσαντες; κοίην πλήθεος συστροφήν, κοίην δὲ χρημάτων δύ-
I *ναμιν; τῶν ἐπιστάμεθα μὲν τὴν μάχην, ἐπιστάμεθα δὲ τὴν*
δύναμιν ἐοῦσαν ἀσθενέα. ἔχομεν δὲ αὐτῶν παῖδας καταστρε-
ψάμενοι τούτους, οἳ ἐν τῇ ἡμετέρῃ κατοικημένοι Ἴωνές τε καὶ
Αἰολέες καὶ Δωριέες καλέονται. ἐπειρήθην δὲ καὶ αὐτὸς ἤδη

1. *κατοικημένους.* *οἰκῆσθαι* und *κατοικῆσθαι* gebraucht Her. durchgehends in der Bedeutung von *οἰκέειν* und *κατοικέειν*. Ebenso unten 1). Vgl. c. 69. 164.

2. *καταγελᾶν* mit Dativ auch III 37. 38. 155. Mit dem sonst regelmäszigen Genetiv V 68.

3. *Σάκας.* Das mächtige Nomadenvolk der *Σάκαι* wohnte im Nordosten von Baktriana in den heutigen Steppen der Kirgisen. Sie waren vortreffliche Reiter und Bogenschützen (c. 64). Uebrigens war nur ein Teil von ihnen der Herschaft der Perser unterworfen (III 98), dasselbe gilt von den Indern und Aethiopen (III 97. 98). Mardonius macht sich also hier einer starken Uebertreibung schuldig.

4. *ἀδικήσαντα ἀλλὰ βουλόμενοι.* So schlieszen sich öfter im Casus verschiedene Participien an einander an. Vgl. I 69 *Κροῖσος ἔπεμπε ἐς Σπάρτην ἀγγέλους δῶρα τε φέροντας καὶ δεησομένους συμμαχίης, ἐντειλάμενός τε τὰ λέγειν χρῆν.* Vgl. unt. c. 99 *αὐτή τε ἔχουσα τὴν τυραννίδα καὶ παιδὸς ὑπάρχοντος νεηνιέω.* Ebenso c. 164 *καταθεὶς τὴν ἀρχὴν ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενός.*

5. *καταστρεψάμενοι — ἔχομεν.* *ἔχειν* c. partic. öfter bei Herod. Es bezeichnet den dauernden bestehenden Zustand. Ganz wie hier I 28 *πάντας ὑπ' ἑωυτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος.* Ebenso unt. 8. Vgl. c. 14.

6. *ὑπάρξαντας ἀδικίης.* Dieselbe Wendung IV 1 *ἐκεῖνοι ὑπῆρξαν ἀδικίης.*

οὐ τιμωρησόμεθα. *εἰ — οὐ* (nicht *μή*), weil *εἰ* nach *δεινὰ ποιέεσθαι*, wie nach *θωμάζειν* und ähnlichen Begriffen fast synonym mit *ὅτι* ist. Wie hier steht *εἰ* nach *δεινὰ ποιέεσθαι* IV 33.

7. *τί δείσαντες;* zur Frageform vgl. IV 155 *σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην ἀποικίζειν· τέῳ δυνάμι; κοίῃ χειρί;*

κοίην — δύναμιν; zum Gedanken vgl. Aesch. Pers. 240, wo Atossa an den Chor die Frage richtet: *ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπληθεία στρατοῦ; καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις;* dasz die Perser die Stärke in die numerische Masse setzten, sagt Her. auch I 136 *τὸ πολλὸν ἡγέαται ἰσχυρὸν εἶναι*, ein Ausspruch, der in den ungeheuren Heeresmassen des Xerxes seine Bestätigung findet. Vgl. c. 48.

I. 8. *μάχην* Kampfesart, auch unt. c. 85. V 49.

9. *ἔχομεν — καταστρεψάμενοι* wie ob. 5.

παῖδας Abkömmlinge, auch IV 145.

10. *τούτους οἵ.* Genau wie hier IV 33. Ebenso *οὗτοι οἵ* c. 111.

κατοικημένοι. S. z. Anf. des Cap.

11. *ἐπειρήθην — ἐπελαύνων.* *πειρᾶσθαι* c. partic. auch c. 139.

ἐπελαύνων ἐπὶ τοὺς ἄνδρας τούτους ὑπὸ πατρὸς τοῦ σοῦ κελευσθείς, καί μοι μέχρι Μακεδονίης ἐλάσαντι καὶ ὀλίγον ἀπολιπόντι ἐς αὐτὰς Ἀθήνας ἀπικέσθαι οὐδεὶς ἠντιώθη ἐς μάχην.
Καίτοι ἐώθασι Ἕλληνες, ὡς πυνθάνομαι, ἀβουλότατα πολέμους II
ἵστασθαι ὑπό τε ἀγνωμοσύνης καὶ σκαιότητος. ἐπεὰν γὰρ ἀλλήλοισι πόλεμον προείπωσι, ἐξευρόντες τὸ κάλλιστον χωρίον καὶ λειότατον, ἐς τοῦτο κατιόντες μάχονται, ὥστε σὺν κακῷ μεγάλῳ οἱ νικέοντες ἀπαλλάσσονται· περὶ δὲ τῶν ἑσσωμένων οὐδὲ λέγω ἀρχήν, ἐξώλεες γὰρ δὴ γίνονται· τοὺς χρῆν, ἐόντας ὁμογλώσσους, κήρυξί τε διαχρεομένους καὶ ἀγγέλοισι καταλαμβάνειν τὰς διαφορὰς καὶ παντὶ μᾶλλον ἢ μάχῃσι, εἰ δὲ πάντως ἔδεε πολεμέειν πρὸς ἀλλήλους, ἐξευρίσκειν χρῆν, τῇ ἑκάτεροί εἰσι δυσχειρωτότατοι, καὶ ταύτῃ πειρᾶν. τρόπῳ τοίνυν οὐ χρηστῷ Ἕλληνες διαχρεόμενοι ἐμέο ἐλάσαντος μέχρι Μακεδονίης οὐκ ἦλθον ἐς τούτου λόγον ὥστε μάχεσθαι. Σοὶ I
δὲ δὴ μέλλει τις, ὦ βασιλεῦ, ἀντιώσεσθαι πόλεμον προσφέρων, ἄγοντι καὶ πλῆθος τὸ ἐκ τῆς Ἀσίης καὶ νέας τὰς ἁπάσας; ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων

146. 172. Mit Infin. VIII 100.— Erzählt ist der Zug des Mardonios VI 43.

2. ὀλίγον ἀπολιπόντι = ὀλίγου δεήσαντι (c. 10, 3). Wie hier Thuk. VII 70 βραχὺ γὰρ ἀπέλιπον ξυναμφότεραι διακόσιαι γενέσθαι.

II. 4. καίτοι ἐώθασι schlieszt sich eng an καί μοι οὐδεὶς ἠντιώθη ἐς μάχην an. Gedankenverbindung: „Freilich pflegen die Hellenen wol Kriege zu führen, aber sie tuen dies auf eine unüberlegte und ungeschickte Weise“.

πολέμους ἵστασθαι. Vgl. c. 175. 236.

7. ἐς τοῦτο weist nachdrücklich auf τὸ κάλλιστον χωρίον καὶ λειότατον zurück.

8. ἑσσωμένων von dem ion. ἑσσοῦμαι att. ἡττάομαι.

9. οὐδὲ — ἀρχήν eig. = ne initio quidem, daher auch so viel wie ne omnino quidem. Wie hier c. 26.

τούς ist Relativ.

χρῆν. Bei den Verben, die den Begriff der Notwendigkeit, Pflicht u. s. w. enthalten (χρῆν, ἔδεε, ὤφελον), pflegt beim Indicativ der historischen Zeitformen die Partikel ἄν im Nachsatz ausgelassen zu werden. Wie hier III 45. IV 118 und gleich im Folgenden.

10. καταλαμβάνειν τὰς διαφοράς componere lites. Vgl. Isokr. XII 165 πρεσβείαις καὶ λόγοις ἐξαιρεῖν ἐπειρῶντο τὰς διαφοράς und Her. III 128 ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε (= cohibuit).

12. χρῆν. S. o. z. 9.

13. πειρᾶν, ἀλλήλων. Häufiger ist πειρᾶσθαι ἀλλήλων (I 76. II 164. IV 80).

15. ἐς τούτου λόγον ὥστε μάχεσθαι „auf den Gedanken zu kämpfen“. In anderer Bedeutung steht ἐς τούτου λόγον III 99.

III. 17. ὡς μὲν ἐγὼ δοκέω. Mit verschwiegenem Gegensatze. Vgl. I 131 ὡς μὲν ἐμοὶ δοκέειν und unt. c. 24 ὡς μὲν ἐμὲ εὑρίσκειν; auch c. 50.

18. ἐς τοῦτο θράσεος ἀνήκει. Vgl. Ἄνδριοι ἐς τὰ μέγιστα ἀνήκον-

πρήγματα, εἰ δὲ ἄρα ἐγώ τε ψευσθείην γνώμῃ καὶ ἐκεῖνοι ἐπαερθέντες ἀβουλίῃ ἔλθοιεν ἡμῖν ἐς μάχην, μάθοιεν ἄν, ὥς εἰμεν ἀνθρώπων ἄριστοι τὰ πολέμια. ἔστω δ' ὦν μηδὲν ἀπείρητον· αὐτόματον γὰρ οὐδέν, ἀλλ' ἀπὸ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι.

10 *Μαρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο, σιωπεόντων δὲ τῶν ἄλλων Περσέων καὶ οὐ τολμεόντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος πάτρως ἐὼν Ξέρξῃ, τῷ δὴ καὶ πίσυνος ἐὼν ἔλεγε*
I *τάδε· Ὦ βασιλεῦ, μὴ λεχθεισέων μὲν γνωμέων ἀντιέων ἀλλήλῃσι οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρᾶσθαι, λεχθεισέων δὲ ἔστι, ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον αὐτὸν μὲν ἐπ' ἑωυτοῦ οὐ διαγινώσκομεν, ἐπεὰν δὲ*

τες (*γεωπεινίης*). Aehnlich c. 13. 16. V 49 und unt. c. 134 *χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα.*

τὰ Ἑλλήνων πρήγματα = *ἡ Ἑλλήνων δύναμις.* Vgl. III 137 *τὰ Περσικὰ πρήγματα.* Ebenso unt. c. 10. Oefter so.

1. *ἄρα* wider Erwarten. Wie hier c. 16, 3 *εἰ δ' ἄρα μή ἐστι τοῦτο τοιοῦτο, οἷον ἐγὼ διαιρέω.*

ψευσθείην γνώμῃ. Vgl. dagegen *ἐψευσμένου γνώμης* VIII 40, *ψευσθῆναι τῆς ἐλπίδος* IX 61. So hat auch Thuk. *σφαλῆναι γνώμης* (IV 28) neben *σφαλῆναι γνώμῃ* (IV 18).

2. *ἐπαερθέντες ἀβουλίῃ.* Vgl. VI 192 *Ἀθηναῖοι τούτοισι ἐπαερθέντες.* Aehnlich IV 130. V 91. IX 49.

3. *εἰμὲν* Attisch? Vgl. *εἷς* (Anfang von c. 9).

ἄριστοι τὰ πολέμια. Vgl. V 111 *τὰ πολέμια κάρτα δόκιμος.* Aehnlich III 4.

δ' ὦν (att. *δ' οὖν*) = aber sicherlich. Meist entspricht dieses *δ' ὦν* einem vorausgegangenen *μέν*, wenn der Inhalt des zweiten Gliedes als eine entschiedene Tatsache oder zweifellose Wahrheit (so hier) dargestellt werden soll. Vgl. Her. III 80 *ἐλέχθησαν λόγοι ἄπιστοι μὲν ἐνίοισι Ἑλλήνων, ἐλέχθησαν δ' ὦν*; ebenso II 50. 167. III 46. 115. 116. IV 10 und unt. c. 153. Wie an unserer Stelle ohne vorhergehendes *μέν* steht *δ' ὦν* in diesem Sinne VI 82 und unt. c. 35.

4. *ἀπὸ πείρης — γίνεσθαι.* Zum Gedanken vgl. Theokr. XV 62 *πείρᾳ θὴν πάντα τελεῖται.* — *φιλέειν* = solere, consuesse auch c. 10 *ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γενέσθαι.* In gleicher Bedeutung gebraucht Her. *ἐθέλειν* c. 50. 157.

10. 6. *ἐπιλεήνας — γνώμην. ἐπιλεαίνειν* eig. glätten, dann in übertragener Bedeutung so viel wie annehmlicher machen. Wie hier ist das Simplex gebraucht VIII 142 *μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ λεήνας τὸν Μαρδονίου λόγον.* — *λεαίνειν* in anderer Bedeutung I 200. IV 122.

8. *γνώμην ἀποδείκνυσθαι* auch c. 3.

9. *ἔλεγε* gehört, wiewol Hauptverbum, doch auch als Praedicat zu dem Relativsatz (*τῷ πίσυνος — ἐών*). Vgl. III 80 *πλῆθος δὲ ἄρχον τῶν ὁ μούναρχος ποιέει οὐδέν*, wo *ποιέει* auch zum Relativsatz gehört. Ebenso hat c. 86 *εἶχον* doppelte Beziehung.

I. 11. *ἔστι* = *ἔξεστι.* Vgl. c. 128. *αἱρεόμενον ἑλέσθαι.* S. z. c. 175 (*ἥλωσαν ἁλόντες*).

12. *ἔστι* erg. *ἑλέσθαι.*

13. *αὐτὸν ἐπ' ἑωυτοῦ* für sich allein. Vgl. I 203 *ἡ δὲ Κασπίη θάλασσά ἐστι ἐπ' ἑωυτῆς, οὐ*

παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας οὐδαμόθι γῆς ἄστυ νέμοντας· ὁ δὲ ἐλπίζων Σκύθας τοὺς νομάδας καταστρέψεσθαι ἐμοί τε οὐκ ἐπείθετο, στρατευσάμενός τε πολλοὺς καὶ ἀγαθοὺς τῆς στρατιῆς ἀποβαλὼν ἀπῆλθε. σὺ δέ, ὦ βασιλεῦ, μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἔτι ἀμείνονας ἢ Σκύθας, οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι. τὸ δὲ αὐτοῖσι ἔνεστι δεινόν, ἐμέ σοι δίκαιόν ἐστι φράζειν. Ζεῦξας II
φῂς τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα. καὶ δὴ συνήνεικε ἤτοι κατὰ γῆν ἢ κατὰ θάλασσαν ἑσσωθῆναι, ἢ καὶ κατ' ἀμφότερα· οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι, πάρεστι δὲ καὶ σταθμώσασθαι, εἰ στρατιήν γε τοσαύτην σὺν Δάτι καὶ Ἀρταφέρνεϊ ἐλθοῦσαν ἐς τὴν Ἀττικὴν χώρην μοῦνοι Ἀθηναῖοι διέφθειραν. οὐκ ὦν ἀμφοτέρῃ σφι

συμμίσγουσα τῇ ἑτέρῃ θαλάσσῃ. Zum Reflexiv tritt häufig *αὐτός* hinzu, um das Subject oder Object schärfer hervorzuheben. Vgl. unt. IV *ἐπὶ σεωυτοῦ.*

1. *παρατρίψωμεν, ἐν βασάνῳ.* Ein vielfach von Dichtern gebrauchter Vergleich. Vgl. Theogn. 1105

εἰς βάσανον δ' ἐλθὼν παρατριβόμενός τε μολίβδῳ
χρυσὸς ἄπεφθος ἐὼν καλὸς ἅπασιν ἔσῃ

und v. 449

εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
χρυσὸν ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ.

2. *ἀδελφεῷ δέ.* Ueber *δέ* s. z. c. 8, II.

ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας. Vgl. IV 83 *Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρήϊζε μηδαμῶς αὐτὸν στρατηΐην ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων ἀπορίην. ἀλλ' οὐκ ἔπειθε συμβουλεύων οἱ χρηστά.*

3. *ἄνδρας — ἄστυ νέμοντας.* Zur Sache vgl. IV 46 *τοῖσι (Σκύθῃσι) οὔτε ἄστεα οὔτε τείχεά ἐστι ἐκτισμένα — οἰκήματά τέ σφι ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν;*

4. *Σκύθας τοὺς νομάδας.* Ueber sie vgl. IV 19. 55.

9. *αὐτοῖσι* „dabei". Oben c. 8, III *ἐν αὐτοῖσι.*

II. 11. *καὶ δὴ συνήνεικε* „und angenommen, es hat sich ereignet". In lebhafter Darstellung kann der Indicativ, besonders in Verbindung mit *καὶ δή* (= und eben, gesetzt dasz), einen blosz angenommenen Fall bezeichnen. — Ueber *συνήνεικε* s. z. c. 4.

12. *ἑσσωθῆναι.* Attisch? S. z. c. 9, II.

13. *σταθμώσασθαι* eig. abwägen, dann urteilen, schlieszen. Mit Dativ verbunden (= schlieszen aus etwas c. 11). Vgl. c. 214. 237.

εἴ γε siquidem, auch c. 46.

15. *διέφθειραν.* Erzählt VI 94. 116. 118.

οὐκ ὦν ἀμφοτέρῃ σφι ἐχώρησε. Auch hier hat der Indicativ dieselbe Bedeutung wie ob. in *συνήνεικε* (11). „Angenommen dasz es ihnen nicht in Wirklichkeit (= *οὐκ ὦν*) in beiderlei Beziehung geglückt ist". Für *ἀμφοτέρῃ* steht ob. 12 *κατ' — ἀμφότερα — ἐχώρησε.* Mit *εὐτυχέως* III 39 *πάντα οἱ ἐχώρεε εὐτυχέως.* Wie VIII 68 *εὐπε-*

ἐχώρησε, ἀλλ' ἢν τῇσι νηυσὶ ἐμβάλωσι καὶ νικήσαντες ναυ-
μαχίῃ πλώωσι ἐς τὸν Ἑλλήσποντον καὶ ἔπειτεν λύσωσι τὴν
III γέφυραν, τοῦτο δή, βασιλεῦ, γίνεται δεινόν. Ἐγὼ δὲ οὐδεμιῇ
σοφίῃ οἰκηΐῃ αὐτὸς ταῦτα συμβάλλομαι, ἀλλ' οἷόν κοτε ἡμέας
ὀλίγου ἐδέησε καταλαβεῖν πάθος, ὅτε πατὴρ ὁ σὸς ζεύξας
Βόσπορον τὸν Θρηΐκιον, γεφυρώσας δὲ ποταμὸν Ἴστρον διέβη
ἐπὶ Σκύθας. τότε παντοῖοι ἐγένοντο Σκύθαι δεόμενοι Ἰώνων
λῦσαι τὸν πόρον, τοῖσι ἐπιτέτραπτο ἡ φυλακὴ τῶν γεφυρέων
τοῦ Ἴστρου. καὶ τότε γε Ἱστιαῖος ὁ Μιλήτου τύραννος εἰ ἐπέ-
σπετο τῶν ἄλλων τυράννων τῇ γνώμῃ μηδὲ ἠντιώθη, διέρ-
γαστο ἂν τὰ Περσέων πρήγματα. καίτοι καὶ λόγῳ ἀκοῦσαι
δεινὸν, ἐπ' ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα γεγε-
IV νῆσθαι. Σὺ ὦν μὴ βούλευ ἐς κίνδυνον μηδένα τοιοῦτον ἀπι-
κέσθαι μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλ' ἐμοὶ πείθεο· νῦν μὲν
τὸν σύλλογον τόνδε διάλυσον, αὖτις δὲ, ὅταν τοι δοκέῃ, προσκε-
ψάμενος ἐπὶ σεωυτοῦ προαγόρευε τά τοι δοκέει εἶναι ἄριστα.
τὸ γὰρ εὖ βουλεύεσθαι κέρδος μέγιστον εὑρίσκω ἐόν· εἰ γὰρ
καὶ ἐναντιωθῆναί τι ἐθέλει, βεβούλευται μὲν οὐδὲν ἧσσον εὖ,

τέως τοι, δέσποτα, χωρήσει, τὰ νοέων ἐλήλυθας.

III. 4. σοφίῃ οἰκηΐῃ. Mein Schlusz ist nicht etwa auf eine subjective Ansicht (= σοφίῃ οἰκηΐῃ) begründet, sondern beruht auf einer Erfahrung, welche auch ihr gemacht habt. Ueber die Bedeutung von οἰκήϊος vgl. III 81.

συμβάλλομαι vermute, schliesze; ähnlich c. 187.

ἀλλ' erg. συμβάλλομαι πάθει οἷον κτλ. Das Substantiv (πάθεϊ) ist in den Adjectivsatz aufgenommen und in den Casus des Relativs gesetzt.

5. ὀλίγου ἐδέησε. πολλοῦ, ὀλίγου δεῖ c. Infin. heiszt: es fehlt viel, wenig daran dasz.

καταλαμβάνειν τινά findet sich in der Bedeutung jemanden betreffen häufig bei Herodot. Vgl. IV 11 λογισάμενοι ὅσα κακὰ ἐπίδοξα φεύγοντες ἐκ τῆς πατρίδος καταλαμβάνειν.

7. παντοῖοι ἐγένοντο δεόμενοι. Dieselbe Wendung, aber ohne δεομένη, III 124 παντοίη ἐγένετο (ἡ Πολυκράτεος θυγατήρ) μὴ ἀποδημῆσαι τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτην. Aehnlich IX 9. — Zur Sache vgl. IV 136 ff.

9. Ἱστιαῖος ὁ Μιλ. Beachte die Wortstellung.

10. μηδέ. Her. gebraucht öfter οὐδέ, μηδέ für καὶ οὐ, καὶ μή.

διέργαστο. Beachte die passive Bedeutung. διεργάζεσθαι töten (c. 224) oder (so hier) zu Grunde richten.

11. τὰ Περσέων πρήγματα. S. c. 9, III. Aehnlich gleich im Folg. τὰ βασιλέος πρήγματα.

12. ἐπ' ἀνδρί — γεγενῆσθαι. ἐπί τινι γίγνεσθαι heiszt: in jemandes Gewalt kommen, in jemandes Hand liegen. Wie hier c. 52 ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι.

IV. 16. ἐπὶ σεωυτοῦ. S. o. z. I (ἐπ' ἑωυτοῦ).

18. ἐθέλειν von leblosen Dingen gebraucht, heiszt: sollen, können, pflegen, mögen. Wie hier c. 37. 49.

ἔσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα, ὁ δὲ βουλευσάμενος
αἰσχρῶς, εἴ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕρηκε, ἔσσον τε
οὐδέν οἱ κακῶς βεβούλευται. Ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς V
κεραυνοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν
κνίζει, ὁρᾷς δὲ, ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα
τὰ τοιαῦτα ἀποσκήπτει τὰ βέλεα. φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερ-
έχοντα πάντα κολούειν. οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπὸ ὀλί-
γου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν σφι ὁ θεὸς φθονήσας
φόβον ἐμβάλῃ ἢ βροντὴν, δι' ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν.
οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ θεὸς ἄλλον ἢ ἑωυτόν. Ἐπειχθῆναι VI
μέν νυν πᾶν πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι

2. *εἴ οἱ ἡ τύχη ἐπίσποιτο.* Genau wie hier I 32 *οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον.*

εὕρημα εὕρηκε. Figura etymologica. Wie hier VIII 109. Vgl. VI 67 *ἦρχε ἀρχήν.* S. z. c. 62.

V. 3. *ὁρᾷς κτλ.* Das Folgende enthält einige allgemeine Wahrheiten, welche Artabanos der Erwägung des Xerxes empfiehlt. Es schlieszen sich also diese Worte eng an die oben ausgesprochene Aufforderung an: *προσκεψάμενος ἐπὶ σεωυτοῦ προαγόρευε τά τοι δοκέει εἶναι ἄριστα.* Zum Asyndeton vgl. c. 50, 2. c. 6. 8, II.

τὰ ὑπερέχοντα ζῷα. Anticipation.

4. *φαντάζεσθαι* hier nicht in der einfachen Bedeutung sich zeigen wie c. 15, sondern mit einem tadelnden Nebenbegriff „sich mit Prunk zur Schau stellen". So häufig bei Plato.

5. *κνίζειν* wird wie das lat. pungere, mordere, in übertragener Bedeutung von Gemütsaufregungen gebraucht. Wie hier von der Eifersucht (*φθόνος*) so c. 12 von der Reue und VI 62 von der Liebe.

6. *ἀποσκήπτειν* hier in transitivem Sinne, anders I 120. Wie hier *ἀποσκήπτειν* so ist IV 79 *ἐνσκήπτειν* vom Blitze (= *βέλος*, auch IV 79) gebraucht.

φιλέει — κολούειν. Zum Gedanken vgl. Hes. oper. et d. v. 6 wo es vom Zeus heiszt: *ῥεῖα δ' ἀρίζηλον μινύθει καὶ ἄδηλον ἀέξει* und Hor. Carm. I 34, 12 Valet ima summis mutare et insignem attenuat deus, obscura promens.

8. *κατὰ τοιόνδε* ist modal zu fassen, wie *κατὰ τοῦτο* v. 33.

σφι geht auf das collective *στρατός.*

φθονήσας. Dieselbe Anschauung vom Neide der Götter begegnet uns in der Rede des Solon vor Kroesus I 32: *ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες, ἐπειρωτᾷς ἀνθρωπηΐων πρηγμάτων πέρι.* Vgl. auch c. 46. Das Nähere s. Band I. Einl. S. 17 ff.

9. *φόβον.* Vgl. c. 43 *ταῦτα ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατόπεδον ἐνέπεσε.*

δι' ὧν ἐφθάρησαν. Beachte die Tmesis. Meist steht bei Herodot nur ein Wort, gewöhnlich eine Partikel wie *μέν, τέ* (vgl. c. 156 *ἀνά τ' ἔδραμον*), *δέ, δή* (c. 12), *ὦν* zwischen Praeposition und Verbum. — Wie hier so verbindet Her. den Aor. empiricus öfter bei der Beschreibung von Sitten und Gebräuchen mit *ὦν*, wenn er die Tätigkeit als rasch und sofort eintretend bezeichnen will.

VI. 10. *ἐπειχθῆναι.* Das mediale *ἐπειχθῆναι*, wovon *πᾶν πρῆγμα* abhängt, ist Subject zu *τίκτει.*

φιλέουσι γίνεσθαι, ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθά, εἰ μὴ
παραυτίκα δοκέοντα εἶναι, ἀλλ' ἀνὰ χρόνον ἐξεύροι τις ἄν.
VII Σοὶ μὲν δὴ ταῦτα, ὦ βασιλεῦ, συμβουλεύω, σὺ δέ, ὦ παῖ
Γωβρύεω Μαρδόνιε, παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλ-
λήνων οὐκ ἐόντων ἀξίων φλαύρως ἀκούειν. Ἕλληνας γὰρ δια-
βάλλων ἐπαείρεις αὐτὸν βασιλέα στρατεύεσθαι, αὐτοῦ δὲ τού-
του εἵνεκεν δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν. μή νυν
οὕτω γένηται. διαβολὴ γάρ ἐστι δεινότατον, ἐν τῇ δύο μέν
εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. ὁ μὲν γὰρ διαβάλ-
λων ἀδικέει οὐ παρεόντι ἐπηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθό-
μενος, πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου
τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου καὶ
VIII νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι. Ἀλλ' εἰ δὴ δεῖ γε
πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασι-
λεὺς μὲν αὐτὸς ἐν ἤθεσι τοῖσι Περσέων μενέτω. ἡμέων δὲ
ἀμφοτέρων παραβαλλομένων τὰ τέκνα στρατηλάτεε αὐτὸς σὺ

1. *φιλέουσι.* S. z. c. 9 Ende. *ἐπισχεῖν* anhalten, verweilen opp. *ἐπειχθῆναι.* Wie hier c. 223. Vom Zurückhalten des Urtheils c. 139.

2. *δοκέοντα ἀλλ' ἐξεύροι τις.* Ein finiter Satz an ein Participium angeschlossen. Vgl. c. 6. Wie hier bei *ἀλλά* II 138, bei *εἴτε — εἴτε* IX 5, bei *ἅμα μὲν — ἅμα δέ* VI 13.

ἀνὰ χρόνον = *χρόνῳ* (c. 6). Wie hier c. 153.

VII. 4. *ματαίους.* Vgl. c. 15 *εἴπας ἐς σὲ μάταια ἔπεα*, wofür c. 13 *ἀεικέστερα ἔπεα* gesagt war.

5. *φλαύρως ἀκούειν.* S. z. c. 16 (*ἀκούσας πρὸς σεῦ κακῶς*).

6. *αὐτόν.* Vgl. unt. VIII *ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν ἤθεσι τοῖσι Περσέων μενέτω, ἡμέων δὲ ἀμφοτέρων — αὐτὸς σὺ στρατηλάτεε.*

7. *προθυμίην ἐκτείνειν*, eine sonst nicht nachweisbare Verbindung. Wir sagen ähnlich „alle Kräfte anspannen". In gleichem Sinne steht ob. c. 6 *πᾶσαν προθυμίην παρέχεσθαι.*

μή νυν οὕτω γένεται ne igitur sic unquam fiat.

10. *παρεόντι.* Dieser in den besten (MPKF) Handschriften überlieferte Dativ ist mit *κατηγορέων* nicht vereinbar, da auch Her. *κατηγορεῖν* nur mit Genetiv verbindet (II 113). Wahrscheinlich ist *ἐπηγορέων* zu lesen, über welches *ἐπ.* schon früh das den Abschreibern geläufigere *κατηγορέων* geschrieben wurde, das schlieszlich in den Text drang. *ἐπηγορέειν* ist von Herod. mit Dativ verbunden auch I 90.

11. *πρὶν ἤ* c. coniunct. ohne *ἄν.* S. z. c. 8, II.

12. *τάδε* wird durch die folgenden Participia erklärt.

ἐν αὐτοῖσι, wie c. 8, III.

13. *νομισθεὶς πρὸς* wie c. 2.

VIII. 14. *φέρε, ἄγε, ἴθι, ἰδέ* od. *φέρετε* u. s. w. leiten oft nachdrücklich Imperative ein. Wie hier c. 16 (Ende). 47. S. z. I 11.

15. *ἤθεσι.* *ἤθεα* hier wie c. 75. 125 Wohnsitze, dagegen IV 95. 106 = mores (*ἤθεα ἀγριώτατα*).

16. *παραβαλλομένων.* *παραβάλλεσθαι* daneben, daran d. h. aufs Spiel setzen. Vgl. Thuk. II 44 *οἳ ἂν μὴ παῖδας παραβαλλόμενοι κινδυνεύσωσιν.*

ἐπιλεξάμενός τε ἄνδρας τοὺς ἐθέλεις, καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ βούλεαι. καὶ ἢν μὲν τῇ σὺ λέγεις ἀναβαίνῃ βασιλέϊ τὰ πρήγματα, κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι καὶ ἐγώ· ἢν δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν δέ σφι καὶ σὺ, ἢν ἀπονοστήσῃς. εἰ δὲ ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινά φημι τῶν αὐτοῦ τῇδε ὑπολειπομένων, Μαρδόνιον μέγα τι κακὸν ἐξεργασμένον Πέρσας ὑπὸ κυνῶν τε καὶ ὀρνίθων διαφορεόμενον ἤ κου ἐν γῇ τῇ Ἀθηναίων ἤ σέ γε ἐν τῇ Λακεδαιμονίων, εἰ μὴ ἄρα καὶ πρότερον κατ᾽ ὁδὸν, γνόντα, ἐπ᾽ οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι βασιλέα.

11 Ἀρτάβανος μὲν ταῦτα ἔλεξε, Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοισίδε· Ἀρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελφεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβεῖν ἐπέων ματαίων. καί τοι ταύτην τὴν ἀτιμίην προστίθημι ἐόντι κακῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἔμοιγε ἐπὶ τὴν Ἑλλάδα αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί· ἐγὼ δὲ καὶ ἄνευ σέο, ὅσαπερ εἶπα, ἐπιτε-

1. *ἐπιλεξάμενος*. Das Medium *ἐπιλέγεσθαι* sich auswählen auch III 157. In anderer Bedeutung (= lesen) c. 239 und secum reputare c. 47. 49. 149.

2. *ὁκόσην τινά*. S. z. 8, IV (*πάντα τινά*).

ἀναβαίνῃ. Häufiger als *ἀναβαίνειν* ist *ἀποβαίνειν* in dieser Bedeutung.

5. *ὑποδύνειν* subire, auch c. 134.

6. *οὐκ ἐθελήσεις*. *οὐκ*, nicht *μή*, weil die Negation mit *ἐθελήσεις* zu einem Begriff verschmilzt. Vgl. VI 9 *εἰ δὲ ταῦτα οὐ ποιήσουσι*, wo *οὐ ποιέειν* so viel wie unterlassen; ebenso unt. c. 16 (Ende).

7. *τινά*. *τὶς* kann, auf mehrere unbestimmte Personen bezogen, auch unserem Mancher entsprechen.

αὐτοῦ τῇδε. Häufig so *αὐτοῦ ταύτῃ* (c. 42); attisch würde *αὐτοῦ* genügen. Wie hier V 19. VII 141.

8. *Μαρδόνιον*. Praedicat ist *διαφορεόμενον*, dem *ἐξεργασμένον* und weiter unten (11) *γνόντα* appositiv beigefügt sind.

9. *διαφορεόμενον*. *διαφορέειν* hier in der Bedeutung von *διασπᾶν* (III 13) gebraucht. Selten so. — Uebrigens läszt Her. den Artabanos nicht nach persischer, sondern hellenischer Anschauungsweise reden; denn bei den Persern hielt man den für glücklich und heilig, dessen Leichnam am schnellsten von Hunden und Vögeln verzehrt ward. So berichtet Herodot selbst I 140.

σέ γε erneuert pleonastisch das vorangegangene Subject *Μαρδόνιον*; so häufig bei Homer (Odyss. *θ*. 488, II 95). Aehnlich ist *ὅ γε* gebraucht II 173. S. z. dieser Stelle.

11. *ἀναγινώσκεις* = *ἀναπείθεις*. Vgl. c. 7 Anf.

11. 14. *εἷς*. S. z. c. 9 Anf.

15. *μηδένα* nach einem Verb, dessen Begriff eine Verneinung enthält. So nach *φυλάσσειν* V 92 II und nach *διαφυγεῖν* c. 194. Ebenso *μή* nach *ἀπαγορεύειν* c. 149.

ἐπέων ματαίων. S. z. c. 10, VII.

17. *μήτε — τὲ*. S. z. c. 8, I (*οὔτε — τὲ*).


18. *ἐπιτελέα ποιήσω*. Die Wendungen *ἐπιτελέα ποιέειν* und

λέα ποιήσω. μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος τοῦ Ἀρσάμεος τοῦ Ἀριαράμνεω τοῦ Τεΐσπεος, τοῦ Κύρου τοῦ Καμβύσεω τοῦ Τεΐσπεος τοῦ Ἀχαιμένεος γεγονώς, μὴ τιμωρησάμενος Ἀθηναίους, εὖ ἐπιστάμενος, ὅτι, εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις τε ἐνέπρησαν καὶ ἤλασαν ἐς τὴν Ἀσίην. οὐκ ὦν ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθεῖν προκέεται ἀγών, ἵνα ἢ τάδε πάντα ὑπὸ Ἕλλησι ἢ ἐκεῖνα πάντα

ἐπιτελέα γίνεσθαι finden sich sehr häufig bei Herodot. Wie hier c. 30.

1. *μὴ γὰρ εἴην*. *μὴ* cum optat. dient hier zum Ausdruck des verneinenden Wunsches: „ich wollte doch nicht vom Darius abstammen".

ἐκ Δαρείου. Der Stammbaum der persischen Könige bis Xerxes ist nach der Inschrift von Behistun folgender:



Aus dieser Stammtafel der beiden Achaemenidenlinien geht hervor, dasz Xerxes an unserer Stelle zunächst seine Vorfahren väterlicherseits, darauf seine mütterlichen Vorfahren nennt, wobei er den Teispes, den Sohn des Achaemenes, als Stammvater beider Linien, zweimal setzt. Der Name des Kambyses (vor *τοῦ Κύρου*) ist wol durch ein Versehen des Abschreibers in den Handschriften ausgefallen.

5. *ἀλλ' οὐκ*. *ἀλλά* = doch sicherlich findet sich oft wie hier (vgl. II 172) mitten in der Rede nach einem hypothetischen Vordersatze; häufig so bei Homer. Wie hier nach *ἐπεί* IX 42 *ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴστε οὐδὲν ἢ οὐ τολμᾶτε λέγειν, ἀλλ' ἐγὼ ἐρέω ὡς εὖ ἐπιστάμενος*. Ebenso nach *ἐπειδή* IX 48.

καὶ μάλα eig. und zwar sehr d. h. erst recht. *καί* hat wie in *καὶ κάρτα* u. *καὶ τὸ κάρτα* auctive Kraft. Vgl. im Attischen *καὶ πάνυ*. Eine andere Bedeutung hat *καὶ μάλα* c. 186.

6. *σταθμώσασθαι*. S. z. c. 10, II.

ἐξ. Beachte *ἐξ* (*ἐκ*) beim Passiv. Vgl. c. 95.

7. *οὐκ ὦν* (att. *οὔκουν*). In Aussagesätzen, die eine nachdrückliche Verneinung enthalten, tritt *οὐκ ὦν* gewöhnlich an die Spitze des Satzes = in Wahrheit nicht, entschieden nicht, durchaus nicht. Wie hier c. 15. 49. 149. IV 11. 18.

8. *ποιέειν ἢ παθεῖν*. Zum Gedanken vgl. Hom. Il. XV 502 *νῦν ἄρκιον ἢ ἀπολέσθαι ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν*.

9. *προκέεται*. Vgl. IX 60 *ἄνδρες Ἀθηναῖοι, ἀγῶνος μεγίστου προκειμένου ἐλευθέρην εἶναι ἢ δεδουλωμένην τὴν Ἑλλάδα*. In gleicher Bedeutung steht Hom. Odyss. X 65

νῦν ὑμῖν παράκειται ἐναντίον
ἠὲ μάχεσθαι
ἢ φεύγειν.

ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. Καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινόν, τὸ πείσομαι, τοῦτο μάθω, ἐλάσας ἐπ᾽ ἄνδρας τούτους, τούς γε καὶ Πέλοψ ὁ Φρύξ, ἐὼν πατέρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω, ὡς καὶ ἐς τόδε αὐτοί τε ὤνθρωποι καὶ ἡ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλέονται.

Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο, μετὰ δὲ εὐφρόνη τε ἐγί- 12
νετο καὶ Ξέρξην ἔκνιζε ἡ Ἀρταβάνου γνώμη· νυκτὶ δὲ βουλὴν διδοὺς πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. δεδογμένων δέ οἱ αὖτις τούτων κατύπνωσε. καὶ δή κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν τοιήνδε, ὡς λέγεται ὑπὸ Περσέων· ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα μέγαν τε καὶ εὐ-

ὑπὸ Ἕλλησι. ὑπό c. dat. in ursprünglicher räumlicher Auffassung bezeichnet anschaulicher als der Genetiv die Unterwürfigkeit, so namentlich in der Verbindung ὑπό τινι εἶναι, γίγνεσθαι, ποιήσασθαι (c. 157). Wie hier c. 139.

1. τὸ γὰρ μέσον — ἐστί, ein Mittelding in unserer Feindschaft gibt es nicht. τὸ μέσον, die Mitte zwischen dem ἢ πάντα ὑπὸ Ἕλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γενέσθαι.

2. καλόν verb. mit γίνεται.

3. τὸ δεινόν mit ironischer Bezugnahme auf das Wort des Artabanos c. 10, II τὸ δὲ αὐτοῖσι ἔνεστι δεινόν, ἐμέ σοι δίκαιόν ἐστι φράζειν.

4. Πέλοψ ὁ Φρύξ, wie c. 8, III.

5. ἐς τόδε bis auf den heutigen Tag, auch IV 10.

ὤνθρωποι. Aehnliche Beispiele dieser ionischen Krasis sind ὠνήρ, οὕτερος, ὦλλοι. Vgl. Dial. Band I S. 31.

6. ἐπώνυμός τινος nach jemandem benannt. Wie hier II 112. ἐπώνυμος ἐπί τινος IV 184.

12. Die Träume des Xerxes und Artabanos. Nach längerem Schwanken entscheidet sich Xerxes für den Krieg (c. 12—19).

8. ἐπὶ τοσοῦτο bis soweit; wie hier IV 45. 199 und unt. c. 99.

μετὰ δὲ εὐφρόνη τε ἐγίνετο καὶ — ἔκνιζε. Parataxis. Vgl. III 76 ἔν τε δὴ τῇ ὁδῷ μέσῳ στείχοντες ἐγίνοντο καὶ τὰ περὶ Πρηξάσπεα γεγονότα ἐπυνθάνοντο. Vgl. c. 23. So sehr häufig. — Wie hier μετὰ δέ so steht c. 83. 176 ἐν δέ (= darin) in adverbialer Bedeutung; häufig so auch ἐπὶ δέ (c. 55) und πρὸς δέ. Einmal auch ὑπὸ δέ darunter (c. 61).

9. ἔκνιζε. S. z. c. 10, V.

νυκτὶ βουλὴν διδούς „der Nacht die Beratung anheimgebend", da sie vorzugsweise ruhiger Ueberlegung günstig ist. Vgl. das griech. Sprichwort „ἐν νυκτὶ βουλή" und unser: guter Rat kommt über Nacht.

10. πάγχυ (att. πάνυ), was mit οὐ πρῆγμα εἶναι zu verbinden ist, steht des Nachdrucks halber voran.

πρῆγμά οἱ εἶναι. πρῆγμα heiszt in dieser und ähnlichen Wendungen das was zu tun ist. Vgl. c. 130 πρῆγμα ἂν ἦν „es wäre (nur) nötig", man brauchte nur.

12. κου. Damit überläszt Her. das Urteil über die Wahrheit der Erzählung dem Leser; aus demselben Grunde ist gleich im Folgenden hinzugefügt: ὡς λέγεται ὑπὸ Περσέων.

13. ἐδόκεε — εἰπεῖν. δοκέειν mit Acc. c. Inf. auch c. 18 öfter.

ἐπιστάντα. Vgl. I 34 αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος.

μέγαν τε καὶ εὐειδέα. Auch

*ειδέα εἰπεῖν· Μετὰ δὴ βουλεύεαι, ὦ Πέρσα, στράτευμα μὴ
ἄγειν ἐπὶ τὴν Ἑλλάδα, προείπας ἁλίζειν Πέρσῃσι στρατόν;
οὔτε ὦν μεταβουλευόμενος ποιέεις εὖ, οὔτε ὁ συγγνωσόμενός
τοι πάρα· ἀλλ' ὥσπερ τῆς ἡμέρης ἐβουλεύσαο ποιέειν, ταύτην
ἴθι τῶν ὁδῶν. Τὸν μὲν ταῦτα εἴπαντα ἐδόκεε ὁ Ξέρξης ἀπο-*
13 *πτάσθαι, ἡμέρης δὲ ἐπιλαμψάσης ὀνείρου μὲν τούτου λόγον
οὐδένα ἐποιέετο, ὁ δὲ Περσέων συναλίσας τοὺς καὶ πρότερον
συνέλεξε, ἔλεγέ σφι τάδε· Ἄνδρες Πέρσαι, συγγνώμην μοι
ἔχετε, ὅτι ἀγχίστροφα βουλεύομαι· φρενῶν τε γὰρ ἐς τὰ ἐμε-
ωυτοῦ πρῶτα οὔκω ἀνήκω, καὶ οἱ παρηγορεόμενοι ἐκεῖνα ποι-
έειν οὐδένα χρόνον μευ ἀπέχονται. ἀκούσαντι μὲν δή μοι τῆς
Ἀρταβάνου γνώμης παραυτίκα μὲν ἡ νεότης ἐπέζεσε ὥστε ἀει-
κέστερα ἀπορρῖψαι ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ χρεών· νῦν
μέντοι συγγνοὺς χρήσομαι τῇ ἐκείνου γνώμῃ. ὡς ὦν μεταδε-*

an anderen Stellen findet sich bei Herodot Schönheit und Grösze zusammengestellt. Vgl. III 1 *θυγάτηρ μεγάλη τε καὶ εὐειδής*. Ebenso unt. c. 187.

1. *μετὰ δὴ βουλεύεαι.* Tmesis. S. z. c. 10, V. Durch die Trennung der Praeposition von ihrem Verb wird an unserer Stelle die adverbiale Bedeutung von *μετά* nachdrücklich hervorgehoben.

3. *οὔτε ὦν.* S. z. c. 11 (*οὐκ ὦν*). *ποιέεις εὖ.* Beachte die Stellung von *εὖ*. Vgl. c. 134 *ἄνδρες φύσι γεγονότες εὖ*. V 50 *διαβάλλων ἐκεῖνον εὖ*. III 82 *νόμους μὴ λύειν ἔχοντα εὖ*.

συγγνωσόμενος. συγγινώσκεσθαι heiszt bei Her. stets erkennen, zugeben, beipflichten. Wie hier VI 61. 92. 140. IX. 41. Im Activ stets einsehen (c. 13).

4. *πάρα* = *πάρεστι*; unattisch. Wie hier I 42. V 106. So bei Her. noch *μέτα* (= *μέτεστι*) c. 157 öft. *ἔνι* (= *ἔνεστι*) c. 112 und *ἔπι* (= *ἔπεισι*) VI 86.

5. *τῶν ὁδῶν.* Genetiv. partitivus vom Demonstrativpronomen abhängig.

ἀποπτάσθαι. Vgl. Hom. Il. *B*. 70 *ὣς ὁ μὲν* (*θεῖος Ὄνειρος*) *εἰπὼν ᾤχετ' ἀποπτάμενος*.

13. 6. *λόγον οὐδένα ποιέεσθαι* (*τινὸς*) ist eine bei Her. sehr häufige Verbindung (c. 58. 218). Gleichbedeutend ist *ἐν οὐδενὶ λόγῳ ποιέεσθαί τινα* od. *τι* (c. 14. 57).

7. *ὁ δέ.* S. z. c. 6.

9. *ἀγχίστροφος* von raschem Wechsel auch Thuk. II 53 *ἀγχίστροφον τὴν μεταβολὴν ὁρῶντες τῶν τ' εὐδαιμόνων καὶ αἰφνιδίως θνησκόντων καὶ τῶν οὐδὲν πρότερον κεκτημένων, εὐθὺς δὲ τἀκείνων ἐχόντων.*

φρενῶν — ἀνήκω „ich bin noch nicht zur höchsten Stufe meiner Einsicht gelangt". Zu *ἀνήκειν ἐς* vgl. z. c. 9, III.

10. *παρηγορέεσθαι* in gleicher Bedeutung V 104 *οὗτος ὡνὴρ πολλάκις μὲν καὶ πρότερον τὸν Γόργον παρηγορέετο ἀπίστασθαι ἀπὸ βασιλέος*.

12. *ἐπέζεσε. ἐπιζέειν* (= aufbrausen) wird eigentlich vom Uebersprudeln des siedenden Wassers gebraucht. Vgl. c. 188. Vgl. Eur. Hec. 583 *δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσεν.* Arist. Thesmoph. 468 *ἡ χολὴ ἐπιζεῖ.*

13. *ἀπορρῖψαι.* Vgl. VI 69 *ἀϊδρείῃ τῶν τοιούτων ἐκεῖνος ἀπέρριψε τὸ ἔπος*, wofür weiter unt. in demselben Cap. *ἐξέβαλε* steht. Wie hier noch IV 142. VIII 192.

ἢ χρεών als es richtig und billig ist. Häufig ist zu *χρεών* noch *ἐστὶ* hinzugefügt. Vgl. I 141.

14. *συγγνούς.* S. z. c. 12.

ὡς μεταδεδογμένον. Aehn–

*δογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἥσυχοι ἔστε.
Πέρσαι μὲν ὡς ἤκουσαν ταῦτα, κεχαρηκότες προσεκύνεον,
νυκτὸς δὲ γενομένης αὖτις τὠυτὸ ὄνειρον ἔλεγε τῷ Ξέρξῃ κατ-* 14
*υπνωμένῳ ἐπιστάν· Ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν Πέρ-
σῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην καὶ τὰ ἐμὰ ἔπεα ἐν
οὐδενὶ ποιεύμενος λόγῳ ὡς παρ' οὐδενὸς ἀκούσας. εὖ νυν
τόδ' ἴσθι, ἤνπερ μὴ αὐτίκα στρατηλατέῃς, τάδε τοι ἐξ αὐτῶν
ἀνασχήσει· ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ,
οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι. Ξέρξης μὲν περι-* 15
*δεὴς γενόμενος τῇ ὄψι ἀνά τε ἔδραμε ἐκ τῆς κοίτης καὶ πέμπει
ἄγγελον ἐπὶ Ἀρτάβανον [καλέοντα]. ἀπικομένῳ δέ οἱ ἔλεγε
Ξέρξης τάδε· Ἀρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν οὐκ ἐφρόνεον
εἴπας ἐς σὲ μάταια ἔπεα χρηστῆς εἵνεκεν συμβουλίης, μετὰ
μέντοι οὐ πολλὸν χρόνον μετέγνων, ἔγνων δὲ ταῦτά μοι ποι-
ητέα ἐόντα, τὰ σὺ ὑπεθήκαο. οὐκ ὦν δυνατός τοί εἰμι ταῦτα
ποιέειν βουλόμενος· τετραμμένῳ γὰρ δὴ καὶ μετεγνωκότι ἐπι-
φοιτῶν ὄνειρον φαντάζεταί μοι, οὐδαμῶς συνέπαινον ἐὸν ποι-
έειν με ταῦτα, νῦν δὲ καὶ διαπειλῆσαν οἴχεται. εἰ ὦν θεός
ἐστι ὁ ἐπιπέμπων καὶ οἱ πάντως ἐν ἡδονῇ ἐστι γενέσθαι στρα-*

---

lich absolut gebrauchte Participien sind *εἰρημένον*, *συγκείμενον* „da es vertragsmäszig festgesetzt war" (V 62). Hinzutreten kann auch *ὡς* da, *ὥσπερ* als ob. Vgl. auch *δέον*, *παρεόν* (c. 107), *χρεών*, *δόξαν*, *ἐξόν*. Das Genauere s. z. V 49.

2. *προσεκύνεον.* Worin die *προσκύνησις* bestand, ist c. 136 angegeben.

14. 3. *κατυπνωμένῳ* auch c. 17.

5. *ἀπειπάμενος τὴν στρ.* *ἀπείπασθαί τι* eig. sich von etwas lossagen, dann im Sinne von verweigern. Wie hier VI 100 *οἱ Ἀθηναῖοι ἀπείπαντο τὴν ἐπικουρίην.* Aehnlich IX 7, 1.

ἐν οὐδενὶ ποιεύμενος λόγῳ. Ueber diese Wendung s. z. c. 13.

7. *ἐξ αὐτῶν.* S. z. c. 8, III (*ἐν αὐτοῖς*).

8. *ἀνασχήσει.* Vgl. V 106 *κοῖον ἐφθέγξαο ἔπος, ἐμὲ βουλεῦσαι πρῆγμα ἐκ τοῦ σοί τι ἢ μέγα ἢ σμικρὸν ἔμελλε λυπηρὸν ἀνασχήσειν*; ähnlich III 62.

πολλός. Auch im Attischen kann *πολύς* die Bedeutung gewaltig haben.

9. *κατὰ τάχος* auch c. 178. Dafür *ὡς τάχος* V 106, *ὅτι τάχος* IX 7. Am häufigsten gebraucht Her. in diesem Sinne *ὡς τάχιστα* und *τὴν ταχίστην* (VII 48. 162).

15. 10. *ἀνά τε ἔδραμε.* Durch die Trennung der Praeposition von ihrem Verb tritt die adverbiale Bedeutung der Praeposition schärfer hervor. S. z. c. 12 (*μετὰ δὴ βουλεύεαι*).

13. *μάταια ἔπεα.* S. z. c. 10, VII.

15. *ὑπεθήκαο.* *ὑποτίθεσθαι* in gleicher Bedeutung c. 237.

οὐκ ὦν. S. z. c. 11.

16. *τετραμμένῳ.* Vgl. c. 18 *ἐγὼ μὲν αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι.*

17. *φαντάζεται.* S. z. c. 10, V.

19. *ἐν ἡδονῇ ἐστι* auch IV 139. Dafür steht *πρὸς ἡδονήν* III 126.

τηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτήσεται καὶ σοὶ τὠυτὸ τοῦτο ὄνειρον, ὁμοίως ὡς καὶ ἐμοὶ ἐντελλόμενον. εὑρίσκω δὲ ὧδ' ἂν γινόμενα ταῦτα, εἰ λάβοις τὴν ἐμὴν σκευὴν πᾶσαν, καὶ ἐνδὺς μετὰ τοῦτο ἵζοιο ἐς τὸν ἐμὸν θρόνον, καὶ ἔπειτεν ἐν
16 κοίτῃ τῇ ἐμῇ κατυπνώσειας. Ξέρξης μὲν ταῦτά οἱ ἔλεγε, Ἀρτάβανος δὲ οὐ τῷ πρώτῳ οἱ κελεύσματι πειθόμενος, οἷα οὐκ ἀξιεύμενος ἐς τὸν βασιλήϊον θρόνον ἵζεσθαι, τέλος, ὡς ἠναγ-
I κάζετο, εἴπας τάδε ἐποίεε τὸ κελευόμενον· Ἶσον ἐκεῖνο, ὦ βασιλεῦ, παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι, τὰ σὲ καὶ ἀμφότερα περιήκοντα ἀνθρώπων κακῶν ὁμιλίαι σφάλλουσι, κατάπερ τὴν πάντων χρησιμωτάτην ἀνθρώποισι θάλασσαν πνεύματά φασι ἀνέμων ἐμπίπτοντα οὐ περιορᾶν φύσι τῇ ἑωυτῆς χρᾶσθαι. ἐμὲ δὲ

1. ἐπιπτήσεται. S. z. c. 12 (ἀποπτάσθαι).

3. σκευή hier vom königlichen Ornat. Vgl. I 24 περιεῖδον αὐτὸν (Ἀρίονα) ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι.

4. ἵζοιο ἐς τὸν ἐμὸν θρόνον. ἐς ist brachylogisch; die Bewegung geht der Ruhe voraus. Vgl. IV 46 ἵζοντο ἐς τὸ Τηΰγετον. Ebenso I 199. VIII 71.

16. 6. τῷ πρώτῳ οἱ κελεύσματι. Der Dativ οἱ ist dem Sinne nach gleich αὐτοῦ; doch hat namentlich der Dativ persönlicher Pronomina in Verbindung mit einem anderen Dativ eine ethische Bedeutung (Dativus ethicus). Vgl. I 34 ὁ Κροῖσος τὰ ἀκόντια καὶ δοράτια ἐκ τῶν ἀνδρεώνων ἐξεκόμισε, μή τί οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ. Wie hier c. 38. 125.

οἷα c. partic. S. z. c. 6 Anf.

οὐκ ἀξιεύμενος sich nicht für würdig haltend. Aehnlich I 199. Sich auf den königlichen Thron zu setzen wurde bei den Persern als Hochverrat und daher mit dem Tode bestraft. Vgl. Curtius VIII 4.

7. ἐς. S. z. c. 15 Ende.

τέλος adverbial wie c. 170. Auch I 76. 82. Vgl. ἀρχήν.

I. 8. ἶσον verb. mit κέκριται.

9. παρ' ἐμοί me iudice; ebenso I 32. Vgl. I 86 παρὰ σφίσι nach ihrem Urteil.

κέκριται = κρίνεται. So sind mehrere Perfecta ihrer Bedeutung nach fast synonym mit ihren Praesenten. Vgl. μέμνημαι, κέκτημαι, κέκλημαι, νενόμισμαι, δέδοκται. Vgl. IV 64 ὃς γὰρ ἂν πλεῖστα δέρματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται. Ebenso V 6.

φρονέειν εὖ καὶ — ἐθέλειν πείθεσθαι. Zum Gedanken vgl. Hes. op. et dies 293

οὗτος μὲν πανάριστος ὃς αὐτῷ πάντα νοήσῃ·
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται.

Vgl. auch Soph. Antig. 720.

10. τά gehört nur zum Particip (περιήκοντα). So schlieszt sich öfter im Griech. das Relativ nur dem Participium an, ohne sich dem zugehörigen Verb finit. anzufügen. Vgl. c. 58. 69. 170. Zu περιήκειν τι vgl. VI 86 περιήκω τὰ πρῶτα ich erreiche das Höchste. In ähnlichem Sinne steht c. 13 ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω. — σέ verbinde mit σφάλλουσι.

καὶ ἀμφότερα. S. z. c. 1.

13. περιορᾶν heiszt (wie unser übersehen): geschehen lassen, gestatten. Mit folgendem Infin. auch c. 168. Vgl. IV 113; mit Partic. z. B. VI 106. VIII 75.

φύσι τῇ ἑωυτῆς χρᾶσθαι er-

ἀκούσαντα πρὸς σεῦ κακῶς οὐ τοσοῦτο ἔδακε λύπη, ὅσον γνωμέων δύο προκειμένων Πέρσῃσι, τῆς μὲν ὕβριν αὐξανούσης, τῆς δὲ καταπαυούσης καὶ λεγούσης, ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζησθαι αἰεὶ ἔχειν τοῦ παρεόντος, τοιούτων προκειμένων γνωμέων ὅτι τὴν σφαλερωτέρην σεωυτῷ τε καὶ Πέρσῃσι ἀναιρέο. Νῦν ὦν, ἐπειδὴ τέτραψαι ἐπὶ τὴν II
ἀμείνω, φῄς τοι μετιέντι τὸν ἐπ' Ἕλληνας στόλον ἐπιφοιτᾶν ὄνειρον θεοῦ τινὸς πομπῇ, οὐκ ἐῶντά σε καταλύειν τὸν στόλον. ἀλλ' οὐδὲ ταῦτά ἐστι, ὦ παῖ, θεῖα· ἐνύπνια γὰρ τὰ ἐς ἀνθρώπους πεπλανημένα τοιαῦτά ἐστι, οἷά σε ἐγὼ διδάξω, ἔτεσι σεῦ πολλοῖσι πρεσβύτερος ἐών· πεπλανῆσθαι αὗται μάλιστα ἐώθασι αἱ ὄψιες τῶν ὀνειράτων, τά τις ἡμέρης φροντίζει· ἡμεῖς δὲ τὰς πρὸ τοῦ ἡμέρας ταύτην τὴν στρατηλασίην καὶ τὸ κάρτα εἴχο-

klärt Polybius XI 29 durch *ἀβλαβῆ καὶ στάσιμον εἶναι.*

1. *ἀκούσαντα κακῶς. ἀκούειν κακῶς* (od. *φλαύρως*) entspricht genau dem lat. male audire. Vgl. II 173 *ἄμεινον σὺ ἂν ἤκουες.* Aehnlich VI 86. VIII 93. IX 79. VII 10, VII.

ἔδακε momordit; dafür c. 12 *ἔκνιζε.*

ὅσον ist eng mit *ὅτι* (5) zu verbinden. *ὅσον ὅτι* = so viel als der Umstand dasz.

2. *δύο* indeclinabel gebraucht wie c. 49. 149.

4. *τοιούτων προκειμένων γνωμέων.* Da die Worte *γνωμέων δύο προκειμένων* von den ihnen zugehörigen *τὴν σφαλερωτέρην ἀναίρεο* durch mehrere Zwischensätze getrennt sind, so wiederholt sie Herod. der Deutlichkeit halber, wie er dies in ähnlichen Fällen fast immer zu tun pflegt.

II. 8. *θεοῦ τινὸς πομπῇ* unter göttlicher Schickung. Ein ähnlicher Ausdruck ist *θείῃ πομπῇ* (I 62), *θείῃ τύχῃ* (I 126), *θειοτέρως* (I 122), *κατὰ δαίμονα* (I 111).

οὐκ ἐῶντα. οὐκ ἐῶ veto (oder dissuadeo c. 18. 47). Vgl. c. 104. 143. So ist *οὐ φημὶ* = nego.

9. *οὐδέ. οὐ δή?*

11. *πεπλανῆσθαι — φροντίζει* heiszt wörtlich: Was man den Tag über im Sinne trägt, derartige (= *αὗται*) Traumbilder pflegen am meisten vorzuschweben d. h. was man den Tag über im Sinne trägt, das pflegt einem am meisten (im Schlafe) als Traumbild vorzuschweben. — *αὗται* (= *τοιαῦται* wie II 135) ist dem appositiven *ὄψιες* assimiliert, da wir eigentlich *ταῦτα* erwarteten (in Responsion zu dem folgenden *τά*). Zum Gedanken vgl. Attius bei Cic. de divin. I 22

Rex quae in vita usurpant homines cogitant, curant, vident,
Quaeque agunt vigilantes agitantque ea si cui in somno accidunt
Minus mirum est, sed di rem tantam haut temere improviso offerunt.

13. *πρὸ τοῦ* (= *τούτου*) temporal; der Artikel in ursprünglicher deiktischer Kraft. Wie hier V 55. 75. 83. Vgl. *ἐκ τοῦ* VI 84. Die substantivierten Neutra der Pronomina haben in Verbindung mit einer Praeposition oft temporale Bedeutung. Vgl. *ἐν ᾧ, ἐς ὅ* (= bis), *ἐξ οὗ, ἐκ τούτου, μετὰ τοῦτο, ἐς τόδε* (c. 47), *πρὸ τούτου* (c. 157).

καὶ τὸ κάρτα „ganz besonders". Das nur das unmittelbar folgende Wort hervorhebende *καί* (auctiv) verbindet Her. oft mit *τὸ κάρτα.* Wie hier I 71. III 104. IV 181. Oft auch *καὶ κάρτα* (VI 125). Vgl. *καὶ μάλα* c. 11.

εἴχομεν μετὰ χεῖρας. Gleichbedeutend ist *ἐν χερσὶ ἔχειν* c. 5. 47.

III μεν μετὰ χεῖρας. Εἰ δὲ ἄρα μή ἐστι τοῦτο τοιοῦτο, οἷον ἐγὼ διαιρέω, ἀλλά τι τοῦ θεοῦ μετέχον, σὺ πᾶν αὐτὸ συλλαβὼν εἴρηκας· φανήτω γὰρ δὴ καὶ ἐμοὶ, ὡς καὶ σοὶ, διακελευόμενον. φανῆναι δὲ οὐδὲν μᾶλλόν μοι ὀφείλει ἔχοντι τὴν σὴν ἐσθῆτα ἢ οὒ καὶ τὴν ἐμὴν, οὐδέ τι μᾶλλον ἐν κοίτῃ τῇ σῇ ἀναπαυομένῳ ἢ οὒ καὶ ἐν τῇ ἐμῇ, εἴπερ γε καὶ ἄλλως ἐθέλει φανῆναι. οὐ γὰρ δὴ ἐς τοσοῦτό γε εὐηθείης ἀνήκει τοῦτο, ὅτιδή κοτέ ἐστι τὸ ἐπιφαινόμενόν τοι ἐν τῷ ὕπνῳ, ὥστε δόξει ἐμὲ ὁρέων σὲ εἶναι, τῇ σῇ ἐσθῆτι τεκμαιρόμενον. εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἢν τὴν ἐμὴν ἐσθῆτα ἔχω οὔτε ἢν τὴν σὴν, σὲ δὲ ἐπιφοιτήσει, τοῦτο ἤδη μαθητέον ἐστί· εἰ γὰρ δὴ ἐπιφοιτήσειέ γε συνεχέως, φαίην ἂν καὶ αὐτὸς θεῖον εἶναι. εἰ δέ τοι οὕτω δεδόκηται γίνεσθαι καὶ οὐκ οἷά τε αὐτὸ παρατρέψαι, ἀλλ' εἰ δὴ δεῖ ἐμὲ

III. 1. εἰ δὲ ἄρα. Ueber ἄρα s. z. c. 9, III.

2. διαιρέω = (mente) discerno i. e. statuo. In gleicher Bedeutung c. 47. 50. 103.

συλλαβών. III 62 ist ἑνὶ ἔπεϊ hinzugefügt: ἑνὶ δὲ ἔπεϊ συλλαβόντα εἰπεῖν (= ὡς συνελόντι εἰπεῖν).

5. ἢ οὐ. Steht bei μᾶλλον eine Negation oder ist überhaupt der Satz ein negativer, so kann statt ἤ, freilich mit verändertem Sinne, auch ἢ οὐ folgen. Hier liegt in ἢ οὐ der Gedanke: Es ist unwahrscheinlich, dasz mir, wenn ich deine königliche Kleidung trage, das Traumbild eher (= lieber) erscheinen wollte, als mir nicht erscheinen, wenn ich meine eigene trüge, d. h. in meiner Kleidung wird mir das Traumbild ebenso gut erscheinen als in deiner. Fehlte οὐ, so würde der Sinn sein: Weder in meiner noch in deiner Kleidung wird mir das Traumbild erscheinen. Genau wie hier IV 118 ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας d. h. der Perserkönig ist ebenso sehr gegen euch als gegen uns herangezogen. Ohne οὐ (bei ἤ) würde der Sinn ein ganz verschiedener sein. Vgl. V 94.

6. εἰ ἄλλως = wenn überhaupt. Wie hier VIII 30.

7. φανῆναι erg. μοί.

ἐς τοσοῦτο ἀνήκει. S. z. c. 9, III.

8. ὅτιδή κοτε qualecunque. Durch ein hinzugefügtes δή, ὦν, κοτέ, δήκοτε erhalten Relativa wie οἷος, ὅσος, ὅστις, ὁκόσος die Bedeutung von Zahladjectiven. So heiszt ὁστισῶν quicunque (II 113), ὁσονῶν quantuscunque (I 199). Vgl. οἱοσδή I 86. ὁτιῶν VI 12. ὁτιδή VI 62, ὁσοσδήκοτε I 157.

9. τεκμαίρεσθαί τινι aus etwas schlieszen. Dafür σταθμοῦσθαι τινι c. 11.

εἰ (= ob) hängt von μαθητέον ἐστὶ (unt. 12) ab.

10. ἐν οὐδενὶ λόγῳ ποιήσεται. S. z. c. 13.

11. σὲ δὲ ἐπιφοιτήσει. ἐπιφοιτᾶν hier mit Accus., oben (II) mit Dativ verbunden.

12. μαθητέον ἐστὶ nobis explorandum est.

συνεχέως unausgesetzt, d. h. mir wie dir.

13. δεδόκηται. Diese Perfectform ist nur dichterisch (vgl. δοκήσει IV 74). δεδόκηταί μοι „es ist von mir bestimmt". In diesem Sinne steht δέδοκται c. dat. IV 68. VI 109. IX 74.

14. οἷά τε sc. ἐστὶ. Ueber den Plural s. z. c. 2. — οὐκ nach εἰ, weil οὐκ οἷά τε gleich ἀδύνατα. S. z. 10, VIII.

ἐν κοίτῃ τῇ σῇ κατυπνῶσαι, φέρε, τούτων ἐξ ἐμεῦ ἐπιτελεο-
μένων φανήτω καὶ ἐμοί. μέχρι δὲ τούτου τῇ παρεούσῃ γνώμῃ
χρήσομαι. Τοσαῦτα εἴπας Ἀρτάβανος, ἐλπίζων, Ξέρξην ἀπο- 17
δέξειν λέγοντα οὐδὲν, ἐποίεε τὸ κελευόμενον· ἐνδὺς δὲ τὴν
Ξέρξεω ἐσθῆτα καὶ ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον ὡς μετὰ
ταῦτα κοῖτον ἐποιέετο, ἦλθέ οἱ κατυπνωμένῳ τὠυτὸ ὄνειρον,
τὸ καὶ παρὰ Ξέρξην ἐφοίτα, ὑπερστὰν δὲ τοῦ Ἀρταβάνου εἶπε
τάδε· Σὺ δὴ ἐκεῖνος εἷς ὁ ἀποσπεύδων Ξέρξην στρατεύεσθαι
ἐπὶ τὴν Ἑλλάδα ὡς δὴ κηδόμενος αὐτοῦ; ἀλλ' οὔτε ἐς τὸ μετ-
έπειτεν οὔτε ἐς τὸ παραυτίκα νῦν καταπροΐξεαι ἀποτράπων τὸ
χρεὼν γενέσθαι, Ξέρξην δὲ τὰ δεῖ ἀνηκουστέοντα παθεῖν,
αὐτῷ ἐκείνῳ δεδήλωται. Ταῦτά τε δὴ ἐδόκεε Ἀρτάβανος τὸ 18
ὄνειρον ἀπειλέειν καὶ θερμοῖσι σιδηρίοισι ἐκκαίειν αὐτοῦ μέλ-
λειν τοὺς ὀφθαλμούς. καὶ ὃς ἀμβώσας μέγα ἀναθρώσκει καὶ
παριζόμενος Ξέρξῃ, ὡς τὴν ὄψιν οἱ τοῦ ἐνυπνίου διεξῆλθε
ἀπηγεόμενος, δεύτερά οἱ λέγει τάδε· Ἐγὼ μὲν, ὦ βασιλεῦ,
οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα
ὑπὸ ἑσσόνων, οὐκ ἔων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστά-

1. φέρε mit nachfolgendem Imperativ. S. z. c. 10, VIII.
τούτων ἐξ ἐμεῦ ἐπιτελεομένων, nachdem ich deine Kleidung angelegt und dein Lager bestiegen habe.

17. 3. ἐλπίζων — οὐδέν „indem er hoffte nachweisen zu können, dasz was Xerxes sage nichtig sei". Ueber die Bedeutung von λέγειν οὐδέν vgl. III 35 Πέρσαι φανέονται λέγοντες οὐδέν.

5. ἱζόμενος ἐς. S. z. c. 15.

7. ὑπερστάν, dafür ob. c. 12. 14. ἐπιστάν. Wie hier Hom. Il. II 20 στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς (ὄνειρος).

8. εἷς. S. z. c. 9 Anf.

ἀποσπεύδων oppos. ἐπισπεύδων (c. 18). Vgl. VI 109 ἀποσπεύδειν τὴν συμβολήν.

10. καταπροΐξεαι. καταπροΐξεσθαι = sich einer Gabe, Belohnung bemächtigen, dann: Gewinn von etwas haben. Das Verb ist gebildet wie προίξ (= Gabe, Entgeltung). Wie hier mit Participium III 156 οὐ γὰρ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται. Ebenso V 105.

τὸ χρεὼν γενέσθαι. τό ist Relativ; zu χρεών erg. ἐστὶ. Zum Gedanken vgl. IX 16 ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ. Aehnlich III 65. — χρεὼν von der Schicksalsnotwendigkeit auch c. 6.

18. 12. ἐδόκεε. δοκέειν mit Acc. c. infin. wie c. 12.

14. καὶ ὅς für καὶ οὗτος. So häufig bei Homer, auch bei Plato und Xenophon. Vgl. ὃς καὶ ὅς der und der bei Her. IV 68.

ἀμβώσας attisch? vgl. Dial. Bd. I S. 30 und ἀνά im ion. Wörterverzeichnis; ἀμβολάδην IV 181. — ἀμβώσας μέγα auch I 8.

15. διεξῆλθε ἀπηγεόμενος oratione persecutus est.

16. δεύτερα oft bei Her. = iterum. S. z. c. 53.

17. οἷα eng mit ἰδών zu verbinden. Ueber οἷα c. partic. s. z. c. 6.

πρήγματα Macht, wie c. 10, III τὰ Ἑλλήνων πρήγματα.

18. ὑπό wegen des passiven Begriffs, der in πεσεῖν enthalten.

μενος, ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν, μεμνημένος μὲν τὸν ἐπὶ Μασσαγέτας Κύρου στόλον ὡς ἔπρηξε, μεμνημένος δὲ καὶ τὸν ἐπ᾽ Αἰθίοπας τὸν Καμβύσεω, συστρατευόμενος δὲ καὶ Δαρείῳ ἐπὶ Σκύθας. ἐπιστάμενος ὦν ταῦτα γνώμην εἶχον ἀτρεμίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώπων. ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμὴ, καὶ Ἕλληνας, ὡς οἶκε, φθορή τις καταλαμβάνει θεήλατος, ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι, σὺ δὲ σήμηνον μὲν Πέρσῃσι τὰ ἐκ τοῦ θεοῦ πεμπόμενα, χρᾶσθαι δὲ κέλευε τοῖσι ἐκ σεῦ πρώτοισι προειρημένοισι ἐς τὴν παρασκευὴν, ποίεε δὲ οὕτω, ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει μηδέν. Τούτων λεχθέντων ἐπαερθέντες τῇ ὄψι, ὡς ἡμέρη ἐγένετο τάχιστα, Ξέρξης τε ὑπερετίθετο ταῦτα Πέρσῃσι, καὶ Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύδων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.

19 Ὡρμημένῳ δὲ Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ μάγοι ἔκριναν ἀκούσαντες φέρειν

οὐκ ἔων. Attisch? Ueber die Bedeutung s. z. c. 16, II.

τῇ ἡλικίῃ εἴκειν. Vgl. III 36 ὦ βασιλεῦ, μὴ πάντα ἡλικίῃ καὶ θυμῷ (= ardori iuvenili) ἐπίτραπε, ἀλλ᾽ ἴσχε καὶ καταλάμβανε σεωυτόν.

1. μεμνημένος τὸν στόλον. Anticipation, wie c. 10, V. Zur Sache vgl. I 201 ff.

2. ὡς ἔπρηξε. Vgl. III 26 ὁ μὲν ἐπ᾽ Αἰθίοπας στόλος οὕτω ἔπρηξε. Ebenso IV 77. VI 44.

3. τὸν ἐπ᾽ Αἰθίοπας τὸν Καμβύσεω erg. ὡς ἔπρηξε. Erzählt III 25 ff.

συστρατευόμενος ist partic. imperfecti. Der Zug des Darius gegen die Scythen ist IV 1. 83 ff. erzählt.

5. ἀτρεμίζοντα. Zur Bedeutung vgl. I 190 οἱ δὲ Βαβυλώνιοι ἐξεπιστάμενοι ἔτι πρότερον τὸν Κῦρον οὐκ ἀτρεμίζοντα, ἀλλ᾽ ὁρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο σιτία ἐτέων κάρτα πολλῶν.

7. καταλαμβάνει. Ueber die Bedeutung s. z. c. 10, III.

τράπομαι. Vgl. τετραμμένος c. 15 und ἐπειδὴ τέτραψαι ἐπὶ τὴν ἀμείνω γνώμην c. 16, II.

9. ἐκ beim Passiv wie c. 11 und gleich im Folg. τοῖσι ἐκ σεῦ προειρημένοισι.

10. πρώτοισι ist praedicativ zu fassen.

ἐς τὴν παρασκευήν verb. mit χρᾶσθαι.

11. ὅκως cum indicat. fut. S. z. c. 8, I.

τοῦ θεοῦ παραδιδόντος. Vgl. IX 78 καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος κατατίθεσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. Ebenso V 64.

τῶν σῶν ἐνδεήσει μηδέν. Erkläre nach III 155 ἤδη ὦν ἢν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα = wenn es an deiner Mitwirkung nicht fehlen wird, so u. s. w.

12. ἐπαερθέντες τῇ ὄψι. S. z. c. 9, III.

ὡς — τάχιστα cum primum. So häufig bei Herodot.

13. ὑπερετίθετο. S. z. c. 8, I.

14. ἀποσπεύδων wie c. 17.

19. 16. ὁρμημένῳ στρατηλατέειν. Vgl. c. 1. 4.

17. μάγοι. So hiesz der in Per-

τε ἐπὶ πᾶσαν γῆν, δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. ἡ δὲ
ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἐστεφανῶσθαι ἐλαίης θαλλῷ,
ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ
ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον. Κρι-
νάντων δὲ ταύτῃ τῶν μάγων Περσέων τε τῶν συλλεχθέντων
αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν τὴν ἑωυτοῦ ἀπελάσας εἶχε
προθυμίην πᾶσαν ἐπὶ τοῖσι εἰρημένοισι, ἐθέλων αὐτὸς ἕκαστος
τὰ προκείμενα δῶρα λαβεῖν, καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω
ἐπάγερσιν ποιέεται, χῶρον πάντα ἐρευνέων τῆς ἠπείρου. Ἀπὸ 20
γὰρ Αἰγύπτου ἁλώσιος ἐπὶ μὲν τέσσερα ἔτεα πλήρεα παραρτέ-
ετο στρατιήν τε καὶ τὰ πρόσφορα τῇ στρατιῇ, πέμπτῳ δὲ ἔτεϊ
ἀνομένῳ ἐστρατηλάτεε χειρὶ μεγάλῃ πλήθεος. στόλων γὰρ τῶν
ἡμεῖς ἴδμεν πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο ὥστε μήτε τὸν
Δαρείου τὸν ἐπὶ Σκύθας παρὰ τοῦτον μηδὲν φαίνεσθαι μήτε
τὸν Σκυθικὸν, ὅτε Σκύθαι Κιμμερίους διώκοντες ἐς τὴν Μη-
δικὴν χώρην ἐμβαλόντες σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης κα-
ταστρεψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτι-

sien angesehene und einfluszreiche Priesterstand medischer Abkunft. Vgl. I 107. 120. 128. III 61. 63. 65. 68. VII 19. 37. 43. 113. 191.

ἔκριναν. Vom Traumdeuter auch I 120 Ἀστυάγης ἐκάλεε τοὺς αὐτοὺς τῶν Μάγων οἵ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν.

φέρειν ἐπί. φέρειν wird in diesem Sinne häufiger mit ἐς verbunden. Vgl. I 120 ἐς τί ὑμῖν ταῦτα φαίνεται φέρειν; quorsum vobis hoc spectare videtur?

3. ἐπισχεῖν. Vgl. I 108 ἡ δὲ ἄμπελος ἐπέσχε τὴν Ἀσίην πᾶσαν. ἐπισχεῖν streift also an die Bedeutung von κατασχεῖν. Wie hier c. 127.

4. κρινάντων δὲ ταύτῃ. Vgl. I 120 (ob. zu ἔκριναν).

6. εἶχε προθυμίην πᾶσαν. Vgl. c. 6 πᾶσαν προθυμίην παρεχόμενοι ἐπὶ τὴν Ἑλλάδα.

ἐπὶ τοῖσι εἰρημένοισι. Die temporale Bedeutung von ἐπί (= nach) streift hier an die causale (= in Folge). Vgl. I 170. II 14. In rein temporalem Sinne steht ἐπί c. dat. c. 164; ebenso II 22. IV 164. IX 77.

20. Voranstalten zum Zuge. Grösze desselben. Durchstechung des Athos. Die Strymonbrücke (c. 20—25).

9. ἀπό in temporaler Bedeutung. Vgl. VIII 54 ἀπὸ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ.

10. ἐπὶ τέσσερα ἔτεα 484—480 v. Chr. Zur Bedeutung von ἐπί s. z. c. 1.

παραρτέετο = παρεσκευάζετο. Wie hier c. 143.

11. ἔτεϊ ἀνομένῳ im Laufe des Jahres.

12. χειρὶ μεγάλῃ. Vgl. c. 157 χεὶρ μεγάλη συνάγεται.

γάρ begründet χειρὶ μεγάλῃ πλήθεος.

13. τὸν Δαρείου τὸν ἐπὶ Σκύθας. Vgl. IV 1. 83 ff. παρά c. accus. = neben d. i. im Vergleich zu.

15. τὸν Σκυθικόν. Erwähnt I 15. 103—106.

16. τὰ ἄνω τῆς Ἀσίης Oberasien. Dafür I 95 ἡ ἄνω Ἀσίη d. h. Asien von den Grenzen Kleinasiens an bis zum Indus gerechnet.

17. ἐτιμωρέετο. Beachte die Bedeutung des Imperfects (de conatu).

μωρέετο, μήτε κατὰ τὰ λεγόμενα τὸν Ἀτρειδέων ἐς Ἴλιον μήτε
τὸν Μυσῶν τε καὶ Τευκρῶν τὸν πρὸ τῶν Τρωϊκῶν γενόμενον,
οἳ διαβάντες ἐς τὴν Εὐρώπην κατὰ Βόσπορον τούς τε Θρήϊκας
κατεστρέψαντο πάντας καὶ ἐπὶ τὸν Ἰόνιον πόντον κατέβησαν
21 μέχρι τε Πηνειοῦ ποταμοῦ τὸ πρὸς μεσαμβρίης ἤλασαν. Αὗται
αἱ πᾶσαι οὐδ' ἕτεραι πρὸς ταύτῃσι γενόμεναι στρατηλασίαι
μιῆς τῆσδε οὐκ ἄξιαι. τί γὰρ οὐκ ἤγαγε ἐκ τῆς Ἀσίης ἔθνος
ἐπὶ τὴν Ἑλλάδα Ξέρξης; κοῖον δὲ πινόμενόν μιν ὕδωρ οὐκ
ἐπέλιπε, πλὴν τῶν μεγάλων ποταμῶν; οἱ μὲν γὰρ νέας παρεί-
χοντο, οἱ δὲ ἐς πεζὸν ἐτετάχατο, τοῖσι δὲ ἵππος προσετέτακτο,
τοῖσι δὲ ἱππαγωγὰ πλοῖα, ἅμα στρατευομένοισι, τοῖσι δὲ ἐς
τὰς γεφύρας μακρὰς νέας παρέχειν, τοῖσι δὲ σῖτά τε καὶ νέας.
22 Καὶ τοῦτο μὲν ὡς προσπταισάντων τῶν πρώτων περιπλωόν-

1. *κατὰ τὰ λεγόμενα* nach der Sage.

2. *τὸν Μυσῶν — γενόμενον.* Myser und Teukrer wanderten in vorhistorischer Zeit aus Kleinasien in Thrakien ein; von dort vertrieben sie viele thrakische Stämme aus ihren Sitzen, überschritten den Strymon und die makedonischen Flüsse und drangen südwärts bis zum Peneiosflusse in Thessalien westwärts bis zum ionischen Meere vor. Nachkommen dieser troischen Teukrer (V 13) nannten sich die Paeonier am Strymon. Die von den Mysern und Teukrern (Paeoniern) damals vertriebenen thrakischen Stämme (*Στρυμόνιοι*) zogen nach Asien, wo sie seitdem *Βιθυνοί* hieszen (c. 75). — Dasz schon in früher Zeit Einwanderungen von Kleinasien nach Thrakien und umgekehrt stattgefunden haben, folgt auch aus c. 73, wo Her. erwähnt, dasz die *Φρύγες*, so lange sie in Europa als Grenznachbarn der Makedonen gelebt hätten, den Namen *Βρίγες* (od. *Βρύγοι* unt. c. 185. VI 45) geführt, dasz sie aber, sobald sie nach Asien übergesiedelt seien, sich *Φρύγες* genannt hätten. Diese Angabe ist wol dahin zu berichtigen, dasz die ursprünglich asiatischen *Φρύγες* wahrscheinlich in Gemeinschaft mit den oben erwähnten Mysern und Teukrern aus Kleinasien in Thrakien und Makedonien eingewandert sind, von wo sie durch Stämme, welche von Norden her einwanderten, wie Thraker und Makedonen, vertrieben wurden und nun in ihre ursprüngliche Heimat zurückkehrten. Vgl. c. 75. 185. VIII 138.

5. *τὸ πρὸς μεσαμβρίης* adverbieller Accusativ = südwärts. Vgl. c. 126 *τὸ πρὸς τὴν ἠῶ* ostwärts und IV 99 *τὸ πρὸς θάλασσαν* meerwärts. Häufig so. — *πρός* mit dem seltnern Genetiv (statt des Accusativs) auch III 101 *κεῖται πρὸς νότου*. c. 50 und 176 sind beide Casus verbunden. Wie hier auch c. 36.

21. 7. *μιῆς τῆσδε οὐκ ἄξιαι* = *παρὰ ταύτην μηδὲν φαίνονται* (c. 20).

8. *μιν, τὸν Ξέρξην.* Zum Accus. bei *ἐπιλείπειν* vgl. II 25 *οἱ ὄμβροι ἐπιλείπουσι αὐτοὺς* (*τοὺς ποταμούς*). Aehnlich unt. c. 43.

10. *ἐς πεζὸν ἐτετάχατο.* Dieselbe Wendung c. 81. 96. 203.

ἵππος, collectiv zu fassen, wie vorher auch *πεζός*.

11. *ἅμα στρατευομένοισι* auf *τοῖσι* zu beziehen. Sie muszten Pferdefahrzeuge stellen und auszerdem selbst mit ins Feld ziehen.

τοῖσι δὲ erg. *προσετέτακτο*.

12. *μακρὰς νέας.* Vgl. c. 36. *νέας* = *πλοῖα σιταγωγά* (c. 147).

22. 13. *τοῦτο μέν* ohne correspondierendes *τοῦτο δέ* (s. z. c. 6).

των περὶ τὸν Ἄθων προετοιμάζετο ἐκ τριῶν ἐτέων κου μάλιστα ἐς τὸν Ἄθων· ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ὅρμεον τριήρεες, ἐνθεῦτεν δὲ ὁρμεόμενοι ὤρυσσον ὑπὸ μαστίγων παντοδαποὶ τῆς στρατιῆς, διάδοχοι δ' ἐφοίτεον, ὤρυσσον δὲ καὶ οἱ περὶ τὸν Ἄθων κατοικημένοι. Βουβάρης δὲ ὁ Μεγαβάζου καὶ Ἀρταχαίης ὁ Ἀρταίου ἄνδρες Πέρσαι ἐπεστάτεον τοῦ ἔργου. Ὁ γὰρ Ἄθως ἐστὶ οὖρος μέγα τε καὶ οὐνομαστὸν, ἐς θάλασσαν κατῆκον, οἰκημένον ὑπ' ἀνθρώπων. τῇ δὲ τελευτᾷ ἐς τὴν ἤπειρον τὸ οὖρος, χερσονησοειδές τέ ἐστι καὶ ἰσθμὸς ὡς δυώδεκα σταδίων, πεδίον δὲ τοῦτο καὶ κολωνοὶ οὐ μεγάλοι ἐκ θαλάσσης τῆς Ἀκανθίων ἐπὶ θάλασσαν τὴν ἀντίον Τορώνης. ἐν δὲ τῷ ἰσθμῷ τούτῳ, ἐς τὸν τελευτᾷ ὁ Ἄθως, Σάνη πόλις Ἑλλὰς οἴκηται. αἱ δὲ ἐντὸς Σάνης, ἔσω δὲ τοῦ Ἄθω οἰκημέναι, τὰς τότε ὁ Πέρσης νησιώτιδας ἀντὶ ἠπειρωτίδων ὥρμητο ποιέειν, εἰσὶ αἵδε, Δῖον, Ὀλόφυξος, Ἀκρόθωον, Θύσσος, Κλεωναί. πόλιες μὲν αὗται, αἳ τὸν Ἄθων νέμονται, ὤρυσσον δὲ ὧδε· Δασάμενοι τὸν χῶρον οἱ βάρβαροι κατ' ἔθνεα, κατὰ 23

τοῦτο μέν wird erst c. 25 in anderer Form wieder aufgenommen: ταῦτα μέν νυν οὕτω ἐποίεε, παρεσκευάζετο δὲ καὶ ὅπλα. Wie hier IV 76. Vgl. c. 176.

προσπταισάντων. S. z. c. 170. Zur Sache vgl. VI 44.

1. προετοιμάζετο, ὁ Ξέρξης. Vgl. VIII 24 Ξέρξης ἑτοιμασάμενος τὰ περὶ τοὺς νεκρούς. ἐκ in temporaler Bedeutung = seit drei Jahren d. i. drei Jahre zuvor.

κου μάλιστα (= ungefähr) limitiert häufig die Zahl (vgl. I 119 παῖς ἔτεα τρία καὶ δέκα κου μάλιστα γεγονώς). Dafür μάλιστά κῃ c. 30. 109.

2. Ἄθων. Das Vorgebirge Athos (j. Santo) auf der äuszersten Spitze der makedonischen Halbinsel Chalkidike.

Ἐλαιοῦντι. Die Stadt Elaios lag an der Südspitze der thrakischen Chersonnes. Vgl. VI 140. VII 33.

3. ὤρυσσον ὑπὸ μαστίγων. Vgl. c. 56 ἐθηέετο (ὁ Ξέρξης) τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα. Dafür ἀναγκαζόμενοι μάστιγι c. 103. Vgl. auch c. 223.

5. κατοικημένοι. S. z. c. 9 Anf.

Βουβάρης. Auch V 21 u. VIII 136 erwähnt.

6. Ἀρταχαίης. Vgl. c. 117.

ἐπεστάτεον. ἐπιστατέειν nur hier bei Herod. Andere Lesart: ἐπέστασαν, vgl. c. 117 τὸν ἐπεστεῶτα τῆς διώρυχος.

9. δυώδεκα σταδίων. Von der Breite zu verstehen; 40 Stad. gehen auf 1 geogr. Meile.

11. τῆς Ἀκανθίων. Akanthos lag nördlich an der Ostseite der Athoshalbinsel, Torone an der Westseite der Sithonischen Halbinsel.

12. Σάνη. Auch von Thukyd. IV 109 erwähnt. Eine gleichnamige Stadt erwähnt Her. c. 123 auf der Halbinsel Pallene.

13. ἐντός diesseits (landeinwärts). — πόλις Ἑλλάς. S. z. c. 97.

14. ὁ Πέρσης wie hier c. 133. V 49. Vgl. V 94 ὁ Μακεδών der König der Makedonen, I 17 ὁ Λυδός, I 163 ὁ Μῆδος.

15. Δῖον — Κλεωναί. Die hier genannten Städte erwähnt auch Thuk. IV 109 u. Strabo p. 331.

23. 17. κατ' ἔθνεα, κατά, wie häufig, in distributiver Bedeu-

Σάνην πόλιν σχοινοτενὲς ποιησάμενοι, ἐπειδὴ ἐγένετο βαθέα ἡ διῶρυξ, οἱ μὲν κατώτατα ἑστεῶτες ὤρυσσον, ἕτεροι δὲ παρεδίδοσαν τὸν αἰεὶ ἐξορυσσόμενον χοῦν ἄλλοισι κατύπερθε ἑστεῶσι ἐπὶ βάθρων, οἱ δ' αὖ ἐκδεκόμενοι ἑτέροισι, ἕως ἀπίκοντο ἐς τοὺς ἀνωτάτω, οὗτοι δὲ ἐξεφόρεόν τε καὶ ἐξέβαλλον. Τοῖσι μέν νυν ἄλλοισι πλὴν Φοινίκων καταρρηγνύμενοι οἱ κρημνοὶ τοῦ ὀρύγματος πόνον διπλήσιον παρεῖχον· ἅτε γὰρ τοῦ τε ἄνω στόματος καὶ τοῦ κάτω τὰ αὐτὰ μέτρα ποιευμένων ἔμελλέ σφι τοιοῦτο ἀποβήσεσθαι. οἱ δὲ Φοίνικες σοφίην ἔν τε τοῖσι ἄλλοισι ἔργοισι ἀποδεικνύαται καὶ δὴ καὶ ἐν ἐκείνῳ· ἀπολαχόντες γὰρ μόριον, ὅσον αὐτοῖσι ἐπέβαλε, ὤρυσσον, τὸ μὲν ἄνω στόμα τῆς διώρυχος ποιεῦντες διπλήσιον ἢ ὅσον ἔδεε αὐτὴν τὴν διώρυχα γενέσθαι, προβαίνοντος δὲ τοῦ ἔργου συνῆγον αἰεί· κάτω τε δὴ ἐγίνετο καὶ ἐξισοῦτο τοῖσι ἄλλοισι τὸ ἔργον. ἐνθαῦτα δὴ λειμών ἐστι, ἵνα σφι ἀγορή τε ἐγίνετο καὶ πρητήριον· σῖτος δέ σφι πολλὸς ἐφοίτα ἐκ τῆς Ἀσίης ἀληλεσμένος.

24 Ὡς μὲν ἐμὲ συμβαλλόμενον εὑρίσκειν, μεγαλοφροσύνης εἵνε-

tung. Wie hier c. 60. Vgl. *κατὰ πόλις*, eine Stadt nach der anderen, c. 139 und *κατ' ἕνα* einzeln c. 104.

1. *σχοινοτενὲς ποιήσασθαι* „eine schnurgerade Linie ziehen". Vgl. I 199 *σχοινοτενέες διέξοδοι πάντα τρόπον ἔχουσι.*

3. *τὸν αἰεὶ ἐξορυσσόμενον.* Zur Bedeutung von *αἰεί* vgl. II 98 *λογίμη πόλις δίδοται τοῦ αἰεὶ βασιλεύοντος Αἰγύπτου τῇ γυναικί.* Ebenso c. 50. II 123. 168. IX 102.

4. *ἐπὶ βάθρων. βάθρα* Leitern; *βάθρον* in anderer Bedeutung V 85. 86.

6. *καταρρηγνύμενοι οἱ κρημνοί. καταρρήγνυσθαι* heiszt „herabgerissen werden", einfallen. *κρημνοί* sind die steilen Mauerwände des Canals.

7. *ἅτε* c. partic. S. z. c. 6.

8. *τὰ αὐτὰ μέτρα ποιευμένων* erg. *αὐτῶν.* Die übrigen machten also den Graben oben und unten gleich breit.

ἔμελλε. μέλλειν sollen, müssen; eigentlich bedeutet *μέλλει* c. infin.: es steht zu erwarten dasz. Wie hier I 150.

11. *ὅσον αὐτοῖσι ἐπέβαλε.* Vgl. IV 115 *ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον* (erg. *μέρος*).

13. *συνῆγον* erg. *τὴν διώρυχα. συνάγειν* verengen ist IV 52 in Gegensatz gesetzt zu *εὐρύνειν.* Vgl. unt. c. 176.

14. *κάτω τε ἐγίνετο* (sc. *τὸ ἔργον*) *καὶ ἐξισοῦτο.* Parataxis. S. z. c. 12. Beachte *τὲ — καί.*

τοῖσι ἄλλοισι kurz für: *τοῖσι τῶν ἄλλων ἔργοισι.* Eine sehr gewöhnliche Brachylogie.

15. *πρητήριον* ionisch für das attische *πωλητήριον*; so nur hier.

16. *σῖτος ἀληλεσμένος* Mehl. *ἐφοίτα.* Vgl. IV 115 *ἀπ' Ἠριδανοῦ τὸ ἤλεκτρον φοιτᾶν λόγος ἐστί.*

24. 17. *ὡς ἐμὲ — εὑρίσκειν.* Derartige absolute Infinitive finden sich häufig bei Herodot. Vgl. II 28 *ὡς ἐμὲ κατανοέειν*, II 125 *ὡς ἐμὲ μεμνῆσθαι*; oft so *ὡς λόγῳ εἰπεῖν* (II 15), *ὡς ἐμοὶ δοκέειν*, auch ohne *ὡς*: *λόγῳ εἰπεῖν* II 21 und: *ἐμοὶ δοκέειν* II 4. VII 173. Mit unserer Stelle vgl. VII 184. 187 *ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω.*

μέν ohne correspondierendes *δέ.* S. z. c. 9, III.

κεν αὐτὸ Ξέρξης ὀρύσσειν ἐκέλευε, ἐθέλων τε δύναμιν ἀπο-
δείκνυσθαι καὶ μνημόσυνα λιπέσθαι· παρεὸν γὰρ μηδένα πό-
νον λαβόντας τὸν ἰσθμὸν τὰς νέας διειρύσαι, ὀρύσσειν ἐκέλευε
διώρυχα τῇ θαλάσσῃ, εὖρος ὡς δύο τριήρεας πλέειν ὁμοῦ ἐλα-
στρεομένας. τοῖσι δὲ αὐτοῖσι τούτοισι, τοῖσί περ καὶ τὸ ὄρυ-
γμα, προσετέτακτο καὶ τὸν Στρυμόνα ποταμὸν ζεύξαντας
γεφυρῶσαι. Ταῦτα μέν νυν οὕτω ἐποίεε, παρεσκευάζετο δὲ 25
καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου, ἐπιτάξας
Φοίνιξί τε καὶ Αἰγυπτίοισι, καὶ σιτία τῇ στρατιῇ καταβάλ-
λειν, ἵνα μὴ λιμήνειε ἡ στρατιὴ μηδὲ τὰ ὑποζύγια ἐλαυνόμενα
ἐπὶ τὴν Ἑλλάδα. ἀναπυθόμενος δὲ τοὺς χώρους καταβάλλειν
ἐκέλευε ἵνα ἐπιτηδεώτατον εἴη, ἄλλον ἄλλῃ ἀγινέοντας ὁλκάσι
τε καὶ πορθμηΐοισι ἐκ τῆς Ἀσίης πανταχόθεν. τὸν δὲ ὦν

συμβάλλεσθαι conicere steht in anderer Bedeutung c. 184. Wie hier IV 45. 87. 111.

2. μνημόσυνα λιπέσθαι. Derselbe Ausdruck von einer Pyramide II 148 öfter.

παρεόν. S. z. c. 13 Ende.

μηδένα πόνον λαβόντας, nämlich im Verhältnis zu der Arbeit, welche der Kanalbau erforderte.

3. τὸν ἰσθμὸν τὰς νέας διειρύσαι. Herodot dachte wol an den über den Isthmos von Korinth führenden Diolkos (δίολκος); es war dies ein künstlicher Fahrweg, auf welchem kleinere Schiffe über das Land aus einem Meere in das andere gezogen wurden.

4. τῇ θαλάσσῃ für das Meer.

εὖρος ὡς — πλέειν. εὖρος, an Breite, ist Accus. des Bezugs. Mit unserer Stelle vgl. II 158: εὖρος δὲ ὠρύχθη (ἡ διῶρυξ) ὥστε τριήρεας δύο πλέειν ὁμοῦ ἐλαστρεομένας. — Dasz die Durchstechung des Athos durch Xerxes wirklich ausgeführt ist, bezeugt auch Thuk. IV 109; auch neuere Reisende (Leake) versichern, offenbare Spuren des Canals gefunden zu haben. Da derselbe nach der Zeit des Xerxes nicht im Stand erhalten wurde, so haben ihn natürlich die Gewässer der umliegenden Höhen im Lauf der Zeit mit Erde angefüllt, welchem Umstande es zuzuschreiben ist, dasz Neuere (mit Unrecht) die ganze Nachricht in Zweifel gezogen haben.

25. 8. ὅπλα Tauwerk, wie c. 36. IX 115.

βύβλινά τε καὶ λευκολίνου. Die beiden Formen der attributiven Bestimmung, Adjectiv und Genetiv eines Substantivs, sind hier mit einander verbunden. Ganz wie hier c. 34. — Aus dem Bast der ägyptischen Papyrosstaude (= βύβλος) machte man Schiffstaue, Matten, Papier; auch bot diese zu den Binsen gehörige Pflanze in ihren saftigen Wurzeln einen gesunden Nahrungsstoff. Jetzt ist sie fast ganz verschwunden. Näheres s. z. II 92 — λευκόλινον, eine Flachsart, welche die Phönizier zu Tauen verarbeiteten.

9. καταβάλλειν (= aufspeichern), wovon σιτία abhängig, steht parallel zu ὅπλα und ist wie dieses Object zu παρεσκευάζετο.

12. ἄλλον, σῖτον ἀληλεσμένον (c. 23). — ἄλλῃ, häufig auch τῇ ἄλλῃ, wird in der Bedeutung anderswohin sowol mit Verben der Ruhe als der Bewegung verbunden. Vgl. III 61 κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Ἄργος. Dafür ἑτέρῃ c. 128.

13. πορθμήϊα att. πορθμεῖα Fähren.

πλεῖστον ἐς Λευκὴν ἀκτὴν καλεομένην τῆς Θρηΐκης ἀγίνεον, οἱ δὲ ἐς Τυρόδιζαν τὴν Περινθίων, οἱ δὲ ἐς Δορίσκον, οἱ δὲ ἐς Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, οἱ δὲ ἐς Μακεδονίην διατεταγμένοι.

26 Ἐν ᾧ δὲ οὗτοι τὸν προκείμενον πόνον ἐργάζοντο, ἐν τούτῳ ὁ πεζὸς ἅπας συλλελεγμένος ἅμα Ξέρξῃ ἐπορεύετο ἐς Σάρδις, ἐκ Κριτάλλων ὁρμηθεὶς τῶν ἐν Καππαδοκίῃ· ἐνθαῦτα γὰρ εἴρητο συλλέγεσθαι πάντα τὸν κατ᾽ ἤπειρον μέλλοντα ἅμα αὐτῷ Ξέρξῃ πορεύεσθαι στρατόν. ὃς μέν νυν τῶν ὑπάρχων στρατὸν κάλλιστα ἐσταλμένον ἀγαγὼν τὰ προκείμενα παρὰ βασιλέος ἔλαβε δῶρα, οὐκ ἔχω φράσαι· οὐδὲ γὰρ ἀρχὴν ἐς κρίσιν τούτου πέρι ἐλθόντας οἶδα. οἱ δὲ ἐπείτε διαβάντες τὸν Ἅλυν ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι᾽ αὐτῆς πορευόμενοι παρεγένοντο ἐς Κελαινάς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῷ οὔνομα τυγ-

1. *Λευκὴ ἀκτή* hiesz ein Flecken und eine Rhede in Thrakien an der Propontis; auch ein Vorgebirge von Euboea führte diesen Namen.

ἀγινέω ion. = *ἄγω*.

2. *οἱ δέ*, als wenn *οἱ μὲν—ἀγίνεον* vorausgegangen wäre; im Gegensatz zu *τὸν δὲ πλεῖστον* erwarteten wir *τὸν δέ* oder *ἄλλον δέ*.

Τυρόδιζα. Dieser zum perinthischen Gebiet gehörige Ort ist nicht weiter bekannt. Perinth, eine blühende Colonie der Samier, lag in Thrakien an der Propontis. Vgl. IV 90. VI 33. — Ueber Doriskos vgl. c. 59.

3. *Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι.* Derselbe Zusatz VIII 118, da es auch auf Chalkidike eine Stadt dieses Namens gab (*Ἠιὼν ἡ ἐπὶ Θράκης* Thuk. IV 7). Das an der Mündung des Strymon gelegene Eion war eine Colonie der Athener und Hafenstadt des (späteren) Amphipolis (j. Contessa). Vgl. c. 107.

26. Zug des Heeres von Kritalla nach Sardes. Pythios und Xerxes (c. 26—32).

5. *ἐν ᾧ* in temporaler Bedeutung; s. z. c. 16, II.

7. *ἐκ Κριτάλλων.* Die Lage von Kritalla lässt sich nicht genau bestimmen; jedenfalls lag es auf der Ostseite des Halys (s. d. folg.) auf der von Susa nach Sardes führenden Königsstrasze (vgl. V 49). Wahrscheinlich liefen bei Kritalla mehrere Hauptstraszen zusammen.

9. *ὑπάρχων.* S. z. c. 12.

10. *τὰ προκείμενα — δῶρα.* Vgl. c. 8, IV.

11. *οὐδὲ ἀρχήν*, ne omnino quidem, wird häufig so von Her. verbunden. S. z. c. 9, II.

13. *ὡμίλησαν τῇ Φρυγίῃ. ὁμιλέειν* sonst meist vom Zusammenkommen mit Personen gebraucht; hier, wie c. 214, vom Orte (= erreichen). Häufig so bei Dichtern.

14. *Κελαιναί*, Kelaenae, war eine alte Stadt Phrygiens in der Nähe des Maeander. Xerxes hatte in ihrer Mitte auf steiler Höhe eine Burg und am Fusz derselben einen Königspalast erbaut (Xen. Anab. I. 2. § 7). Später wurden ihre Einwohner von Antiochos Sother in die von ihm gegründete Stadt Apamea (an der Einmündung des Marsyas in den Maeander) verpflanzt.

15. *ἢ Μαιάνδρου. Μαιάνδρου*, nicht etwa *Μαίανδρος*; denn wie

χάνει ἐὸν Καταρρήκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων ἐς τὸν Μαίανδρον ἐκδιδοῖ, ἐν τῇ καὶ ὁ τοῦ Σιληνοῦ Μαρσύεω ἀσκὸς [ἐν τῇ πόλι] ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπὸ Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι.

Ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ὁ Ἄτυος ἀνὴρ Λυδὸς 27
ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν ξεινίοισι μεγίστοισι καὶ αὐτὸν Ξέρξην, χρήματά τε ἐπηγγέλλετο βουλόμενος ἐς τὸν πόλεμον παρέχειν. ἐπαγγελλομένου δὲ χρήματα Πυθίου εἴρετο Ξέρξης Περσέων τοὺς παρεόντας, τίς τε ἐὼν ἀνδρῶν Πύθιος καὶ κόσα χρήματα κεκτημένος ἐπαγγέλλοιτο ταῦτα. οἳ δὲ εἶπαν· Ὦ βασιλεῦ, οὗτός ἐστι, ὅς τοι τὸν πατέρα Δαρεῖον ἐδωρήσατο τῇ πλατανίστῳ τῇ χρυσέῃ καὶ τῇ ἀμπέλῳ, ὃς καὶ νῦν ἐστὶ

es im Nominativ *ποταμὸς οὐκ ἐλάσσων ἢ Μαίανδρος* heiszt, so muss es demgemäsz im Genetiv heiszen: *ποταμοῦ οὐκ ἐλάσσονος ἢ Μαιάνδρου.*

1. *Καταρρήκτης* heiszt sonst Marsyas; er entsprang aus einer Felsengrotte an der Burg von Kelaenae, welche Xerxes auf der *ἀγορά* erbaut hatte (s. o.), und führte vermutlich wegen seines jähen Falls an dieser Stelle den Namen *Καταρρήκτης*. Verschieden von dem hier erwähnten Flusse ist der karische Marsyas, ebenfalls ein Nebenfluss des Maeander, den Herodot V 118 erwähnt.

2. *ἀνατέλλων.* Vgl. IV 52: *ἐκ λίμνης μεγάλης ἀνατέλλων ὁ Ὕπανις ποταμὸς ῥέει κτλ.*

Σιληνοῦ Μαρσύεω. Marsyas, ein phryg. Silenus, galt als der mythische Erfinder und Vertreter der rauschenden Flötenmusik, die öfter in Gegensatz tritt zu der beruhigenden Saitenmusik, welche in Apollon, dem Meister des Saitenspiels (*φόρμιγξ, κίθαρις, λύρα*), ihren Beschützer findet. Zur Sage vom Wettstreit beider vgl. Xen. Anab. I 2,8: *ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα* (= *τὸν ἀσκόν*) *κρεμάσαι ἐν τῷ ἄντρῳ ὅθεν αἱ πηγαί. διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας.*

3. *ἀσκός* ist der aus der Hautdes Marsyas bereitete Schlauch. Vgl. c. 75 (*πέδιλα νεβρῶν*) und III 9: *ἀσκοὺς καμήλων*, Schläuche aus Kameelfellen.

ὑπὸ Φρυγῶν ist eng mit *λόγος ἔχει* zu verbinden. Ueber die Wendung *λόγος τινὰ ἔχει* s. z. c. 3 (*φάτις μιν ἔχει*).

27. 5. *ὑποκατήμενος.* Pythios hielt sich hier auf, um den König zu erwarten. *ὑποκαθῆσθαι* mit Acc. VIII 40 *ὑποκατήμενοι* (= *ὑπομένοντες*) *τὸν βάρβαρον.*

Πύθιος ὁ Ἄτυος. Vielleicht war Pythios ein Sohn jenes unglücklichen Sohnes des Kroisos (I 34), welcher den Namen Atys führte. Daraus würde sich auch der ungeheure Reichtum des Pythios erklären. Dasz der Enkel des Kroisos den Namen *Πύθιος* führte, hat man nicht unwahrscheinlich als einen Ausdruck der Verehrung angesehen, welche Kroisos dem delphischen Orakel des öfteren bewies. Vgl. I 50. 90. 92. V 36.

7. *ἐπηγγέλλετο βουλόμενος.* *ἐπαγγέλλεσθαι* mit *βουλόμενος*, das auch fehlen könnte, VI 139 *δίκας ἐπηγγέλλοντο βουλόμενοι διδόναι.*

12. *τῇ πλατανίστῳ.* Beachte die Bedeutung des Artikels. Die Platane sowol wie der Weinstock, beide aus purem Golde gearbeitet, sollen Werke des Samiers Theodoros gewesen sein, desselben, der auch den Ring des Polykrates und den Krater verfertigt hatte, welchen

28 πρῶτος ἀνθρώπων πλούτῳ τῶν ἡμεῖς ἴδμεν μετὰ σέ. Θωμά-
σας δὲ τῶν ἐπέων τὸ τελευταῖον Ξέρξης αὐτὸς δεύτερα εἴρετο
Πύθιον, ὁκόσα οἱ εἴη χρήματα. ὁ δὲ εἶπε· Ὦ βασιλεῦ, οὔτε
σε ἀποκρύψω, οὔτε σκήψομαι τὸ μὴ εἰδέναι τὴν ἐμεωυτοῦ οὐ-
σίην, ἀλλ' ἐπιστάμενός τοι ἀτρεκέως καταλέξω. ἐπείτε γὰρ τά-
χιστά σε ἐπυθόμην ἐπὶ θάλασσαν καταβαίνοντα τὴν Ἑλληνίδα,
βουλόμενός τοι δοῦναι ἐς τὸν πόλεμον χρήματα ἐξέμαθον, καὶ
εὗρον λογιζόμενος ἀργυρίου μὲν δύο χιλιάδας ἐούσας μοι τα-
λάντων, χρυσίου δὲ τετρακοσίας μυριάδας στατήρων Δαρει-
κῶν, ἐπιδεούσας ἑπτὰ χιλιάδων. καὶ τούτοισί σε ἐγὼ δωρέο-
μαι, αὐτῷ δ' ἐμοὶ ἀπ' ἀνδραπόδων τε καὶ γεωπεδίων ἀρκέων
ἐστὶ βίος. Ὁ μὲν ταῦτα ἔλεγε, Ξέρξης δὲ ἡσθεὶς τοῖσι εἰρη-
29 μένοισι εἶπε· Ξεῖνε Λυδέ, ἐγὼ ἐπείτε ἐξῆλθον τὴν Περσίδα
χώρην, οὐδενὶ ἀνδρὶ συνέμιξα ἐς τόδε, ὅστις ἠθέλησε ξείνια

Kroisos dem delphischen Orakel schenkte (s. z. III 51). Der Wert der beiden hier genannten Kunstwerke, welche im Altertum hoch berühmt waren, lag wol vorzugsweise in der kunstreichen Arbeit. Etwa 114 Jahre später äuszerte sich der Arkader Antiochos, welcher als Gesandter bei Artaxerxes Mnemon gewesen war, über jene weltberühmte Platane dahin, dasz sie nicht ausreiche einer Cikade Schatten zu geben: *τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν εἶναι ἔφη τέττιγι σκιὰν παρέχειν* Xen. Hellen. VII 1, 38. Später liesz Antigonos sie einschmelzen (Diod. XIX 48).

28. 2. *δεύτερα* deinde wie c. 18.

4. *ἀποκρύψω*, *τὴν ἐμεωυτοῦ οὐσίην* schwebt vor.

σκήψομαι τὸ μὴ εἰδέναι. *σκήπτεσθαί τι*, etwas vorschützen, auch V 102.

5. *ἐπείτε τάχιστα*, cum primum. Ebenso c. 129 *ἐπεὰν — τάχιστα*.

6. *τὴν Ἑλληνίδα*. Andere Bezeichnungen des Aegäischen Meeres sind bei Her. *θάλ. ἡ Ἑλληνική* (V 54) und *ἥδε ἡ θάλασσα* (I 1 und sonst sehr oft).

7. *ἐξέμαθον*. Beachte *ἐξ*. c. 32 ist *ἀκριβέως* hinzugefügt.

8. *λογιζόμενος*. *λογίζεσθαι*, berechnen, in ähnlicher Bedeutung c. 194. Eine andere Bedeutung hat das Verbum c. 8. 44. und VIII 53 (= secum reputare).

ταλάντων. Im persisch. Reich war das babylonische Talent (= 1940 Thaler) das Geldgewicht für Silber (vgl. z. III 89). Danach besasz also Pythios an Silber 3,880,000 Thaler. — Den Golddareikos zu $7\frac{3}{5}$ Thlr. gerechnet (s. Hultsch Metrol. p. 279), hatte Pythios ferner 30,346,800 Thlr. (= 3,993,000 $\times 7\frac{3}{5}$). Sein Gesammtvermögen belief sich demnach auf nicht weniger als 34,226,800 Thlr. Der reiche Athener Kallias (c. 151) wurde nur auf 200 Talente (= 314,333 Thaler) geschätzt. Vgl. Lys. XIX §. 50.

10. *ἐπιδεούσας ἑπτὰ χιλιάδων*. Zum Ausdruck vgl. c. 29: *τὰς τετρακοσίας μυριάδας τοι τῶν στατήρων ἀποπλήσω παρ' ἐμεωυτοῦ δοὺς τὰς ἑπτὰ χιλιάδας, ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων*.

11. *γεωπεδίων*. *γεωπέδιον* diminutiv zu *γεώπεδον* (= *γήπεδον*) Grundstück.

29. 13. *ἐξῆλθον τὴν — χώρην*. Der Accus. mit *ἐξελθεῖν* verbunden wie V 104: *ἐξελθεῖν τὸ ἄστυ*. Vgl. V 103: *ἐκπλώσαντες τὸν Ἑλλήσποντον*.

προθεῖναι στρατῷ τῷ ἐμῷ, οὐδὲ ὅστις ἐς ὄψιν τὴν ἐμὴν καταστὰς αὐτεπάγγελτος ἐς τὸν πόλεμον ἐμοὶ ἠθέλησε συμβαλέσθαι χρήματα, ἔξω σεῦ. σὺ δὲ καὶ ἐξείνισας μεγάλως στρατὸν τὸν ἐμὸν καὶ χρήματα μεγάλα ἐπαγγέλλεαι. σοὶ ὦν ἐγὼ ἀντὶ αὐτῶν γέρεα τοιάδε δίδωμι· ξεῖνόν τέ σε ποιεῦμαι ἐμὸν, καὶ τὰς τετρακοσίας μυριάδας τοι τῶν στατήρων ἀποπλήσω παρ' ἐμεωυτοῦ δοὺς τὰς ἑπτὰ χιλιάδας, ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων, ἀλλ' ᾖ τοι ἀπαρτιλογίη ὑπ' ἐμέο πεπληρωμένη. κέκτησό τε αὐτὸς τάπερ αὐτὸς ἐκτήσαο, ἐπίστασό τε εἶναι αἰεὶ τοιοῦτος· οὐ γάρ τοι ταῦτα ποιεῦντι οὔτε ἐς τὸ παρεὸν οὔτε ἐς χρόνον μεταμελήσει.

Ταῦτα δὲ εἴπας καὶ ἐπιτελέα ποιήσας ἐπορεύετο αἰεὶ τὸ 30
πρόσω. Ἄναυα δὲ καλεομένην Φρυγῶν πόλιν παραμειβόμενος καὶ λίμνην, ἐκ τῆς ἅλες γίνονται, ἀπίκετο ἐς Κολοσσὰς πόλιν μεγάλην Φρυγίης, ἐν τῇ Λύκος ποταμὸς ἐς χάσμα γῆς ἐσβάλλων ἀφανίζεται, ἔπειτεν διὰ σταδίων ὡς πέντε μάλιστά κῃ ἀναφαινόμενος ἐκδιδοῖ καὶ οὗτος ἐς τὸν Μαίανδρον. ἐκ δὲ Κολοσσέων ὁρμεόμενος ὁ στρατὸς ἐπὶ τοὺς οὔρους τῶν Φρυ-

Noch freier ist c. 58 das simplex πλώειν mit Accus. verbunden.

συνέμιξα. Zur Bedeutung vgl. c. 153 ἄγγελοι συμμίξαντες Γέλωνι.

3. ἔξω σεῦ praeter te. ἔξω wie hier IV 46 gebraucht: ὁ δὲ Πόντος ὁ Εὔξεινος παρέχεται ἔξω τοῦ Σκυθικοῦ (ἔθνεος) ἔθνεα ἀμαθέστατα.

6. παρ' ἐμεωυτοῦ de meo. Vgl. II 129: τὰ δὲ ἄλλα γὰρ ἔκρινε εὖ (Μυκερῖνος) καὶ δὴ καὶ τῷ ἐπιμεμφομένῳ ἐκ τῆς δίκης παρ' ἑωυτοῦ (= de suo) διδοὺς ἀπέπλησε αὐτοῦ τὸν θυμόν.

8. ἀπαρτιλογίη erklären alte Grammatiker mit: ἀπηρτισμένος καὶ πληρὴς ἀριθμός (=λόγος).

9. κέκτησο. Beachte die Bedeutung des Perfects (κέκτημαι), die von der des Aorists (ἐκτησάμην) verschieden ist.

11. ἐς τὸ παρεόν (= ἐς τὸ παραυτίκα) wie hier VIII 109. IX 7.

ἐς χρόνον in posterum, verschieden von χρόνῳ (c. 6). Wie hier IX 89 οὐ γὰρ ὑμῖν ἐς χρόνον μεταμελήσει.

30. 12. ἐπιτελέα ποιήσας. Ueber die Wendungen ἐπιτελέα ποιέειν und ἐπιτελέα γίνεσθαι vgl. z. c. 11.

13. Ἄναυα, südl. vom Maiander zwischen Kelaenae und Kolossos gelegen, nicht weit von dem jetzigen Chardak, wo sich noch heute ein Salzsee findet.

14. Κολοσσαί war nach Herod. und Xenophon (Anab. I, 2) eine der bedeutendsten Städte Phrygiens, doch war sie schon zu Strabo's Zeiten (Strab. p. 864. 576) im Abnehmen begriffen. In Erinnerung ist sie geblieben durch den vom Apostel Paulus an ihre Bewohner geschriebenen Brief. Ruinen finden sich bei dem heutigen Chonos, wo noch heute der auf dem Kadmosgebirge (j-Babadag) entspringende Tschuruk in eine tiefe Erdschlucht herabfällt.

16. διά, nach einer Entfernung von. Vom zeitlichen Zwischenraum steht διά VI 118 (δι' ἐτέων εἴκοσι) öfter.

μάλιστά κῃ. S. z. c. 22 (κου μάλιστα).

18. οὔρους att. ὅρους.

γῶν καὶ Λυδῶν ἀπίκετο ἐς Κύδραρα πόλιν, ἔνθα στήλη κατα-
πεπηγυῖα, σταθεῖσα δὲ ὑπὸ Κροίσου, καταμηνύει διὰ γραμμά-
31 των τοὺς οὔρους. Ὡς δὲ ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν Λυ-
δίην, σχιζομένης τῆς ὁδοῦ καὶ τῆς μὲν ἐς ἀριστερὴν ἐπὶ Κα-
ρίης φερούσης, τῆς δὲ ἐς δεξιὴν ἐς Σάρδις, τῇ καὶ πορευομένῳ
διαβῆναι τὸν Μαίανδρον ποταμὸν πᾶσα ἀνάγκη γίνεται καὶ
ἰέναι παρὰ Καλλάτηβον πόλιν, ἐν τῇ ἄνδρες δημιοεργοὶ μέλι
ἐκ μυρίκης τε καὶ πυροῦ ποιεῦσι, ταύτην ἰὼν ὁ Ξέρξης τὴν
ὁδὸν εὗρε πλατάνιστον, τὴν κάλλεος εἵνεκεν δωρησάμενος κό-
σμῳ χρυσέῳ καὶ μελεδωνῷ ἀθανάτῳ ἀνδρὶ ἐπιτρέψας δευτέρῃ
32 ἡμέρῃ ἀπίκετο ἐς τῶν Λυδῶν τὸ ἄστυ. Ἀπικόμενος δὲ ἐς Σάρ-
δις πρῶτα μὲν ἀπέπεμπε κήρυκας ἐς τὴν Ἑλλάδα αἰτήσοντας
γῆν τε καὶ ὕδωρ καὶ προερέοντας δεῖπνα βασιλέϊ παρασκευά-
ζειν. πλὴν οὔτε ἐς Ἀθήνας οὔτε ἐς Λακεδαίμονα ἀπέπεμπε
ἐπὶ γῆς αἴτησιν, τῇ δὲ ἄλλῃ πάντῃ, τῶνδε δὲ εἵνεκεν τὸ δεύ-
τερον ἀπέπεμπε ἐπὶ γῆν τε καὶ ὕδωρ· ὅσοι πρότερον οὐκ ἔδο-
σαν Δαρείῳ πέμψαντι, τούτους πάγχυ ἐδόκεε τότε δείσαν-
τας δώσειν. βουλόμενος ὦν αὐτὸ τοῦτο ἐκμαθεῖν ἀκριβέως
ἔπεμπε.

1. *Κύδραρα*, nicht weiter bekannt; es musz in der Nähe des nachmaligen Laodikeia gelegen haben.

2. *σταθεῖσα δέ*. Zum Gebrauche von *δέ* vgl. z. c. 8, II (*δούλῳ δέ*).

31. 4. *ἐπὶ Καρίης*. Wie von *ἐπὶ Καρίην* verschieden?

6. *πᾶσα ἀνάγκη γίνεται*. Vgl. V 52: *ποταμοὶ τέσσερες δι᾽ Ἀρμενίης ῥέουσι, τοὺς πᾶσα ἀνάγκη διαπορθμεῦσαι ἐστι*.

7. *Καλλάτηβος* suchen neuere Reisende etwa 7 Meilen vom Maeander bei dem heutigen Dorfe Aini-göl.

ἄνδρες δημιοεργοί. Vgl. IV 194: *ἐν τοῖσι μέλι πολλὸν λέγεται δημιοεργοὺς ἄνδρας ποιέειν*.

8. *ἐκ μυρίκης τε καὶ πυροῦ*. Wahrscheinlich eine Art Syrup.

9. *κάλλεος εἵνεκεν*. Auch neuere Reisende (Hamilton) haben in diesen Gegenden Platanen von ungeheurer Grösze gefunden.

δωρησάμενος κόσμῳ. *δωρέεσθαι*, wie hier construiert c. 27. 28. 54. 116. Anders z. B. V 37: *Κώη Δαρεῖος Μυτιλήνην ἐδωρήσατο* und VI 125.

10. *μελεδωνός* att. *ἐπιμελητής*. Vgl. c. 38: *τῶν χρημάτων μελεδωνός ἀθανάτῳ*. Wie bei der Schar der sogenannten zehntausend Unsterblichen (s. c. 83), ersetzte den Gestorbenen sofort sein schon früher gewählter Nachfolger.

11. *ἄστυ*. Hauptstadt. Auch Athen wurde wol so bezeichnet, gerade wie auch Rom als Hauptstadt und Mittelpunkt des römischen Reichs urbs hiesz.

32. 13. *γῆν τε καὶ ὕδωρ*. Arist. Rhet. II 23: *τὸ διδόναι γῆν καὶ ὕδωρ δουλεύειν ἐστίν*. Vgl. V 17.

14. *πλήν*, jedoch, auch c. 84. Der Grund, weshalb Xerxes nach Sparta und Athen keine Boten sandte, ist c. 133 angegeben.

15. *τῇ ἄλλῃ*. S. z. c. 25.

16. *ἐπὶ γῆν*. *ἐπί* zeigt bei Verben der Bewegung den Zweck an (= nach). Wie hier III 14: *ἐξέπεμπε τὴν θυγατέρα ἐσθῆτι δουλίῃ ἐπ᾽ ὕδωρ*.

πρότερον. Vgl. VI 48.

17. *πάγχυ* att. *πάνυ*.

Μετὰ δὲ ταῦτα παρεσκευάζετο ὡς ἐλέων ἐς Ἄβυδον. οἱ 33
δὲ ἐν τούτῳ τὸν Ἑλλήσποντον ἐζεύγνυσαν ἐκ τῆς Ἀσίης ἐς τὴν
Εὐρώπην. ἔστι δὲ τῆς Χερσονήσου τῆς ἐν Ἑλλησπόντῳ, Ση-
στοῦ τε πόλιος μεταξὺ καὶ Μαδύτου, ἀκτὴ τρηχέα ἐς θάλασ-
σαν κατήκουσα Ἀβύδῳ καταντίον, ἔνθα μετὰ ταῦτα, χρόνῳ
ὕστερον οὐ πολλῷ, ἐπὶ Ξανθίππου τοῦ Ἀρίφρονος στρατηγοῦ
Ἀθηναίων, Ἀρταΰκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρ-
χον ζώοντα πρὸς σανίδα διεπασσάλευσαν, ὃς καὶ ἐς τοῦ Πρω-
τεσίλεω τὸ ἱρὸν ἐς Ἐλαιοῦντα ἀγινεόμενος γυναῖκας ἀθέμιτα
ἔργα ἔρδεσκε. Ἐς ταύτην ὦν τὴν ἀκτὴν ἐξ Ἀβύδου ὁρμεόμενοι 34
ἐγεφύρουν τοῖσι προσεκέετο, τὴν μὲν λευκολίνου Φοίνικες, τὴν
δ᾽ ἑτέρην τὴν βυβλίνην Αἰγύπτιοι. ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ

33. Die Brücken über den Hellespont (c. 33—36).

1. *ἐλέων* att. *ἐλῶν* (*ἐλαύνω*); auch c. 37.

οἱ δέ. Aegypter und Phoeniker (c. 25. 34).

2. *ἐν τούτῳ*, während dessen, mit correspondierendem *ἐν ᾧ* VI 89. S. z. c. 16, II.

4. *ἀκτὴ τρηχέα.* Der rauhe und felsige Küstenvorsprung (= *ἀκτή*) zwischen Sestos (h. Zemenik) und Madytos (h. Maito) ist ungefähr eine Meile lang. Ein neuerer Reisender (Prokesch) bemerkt, dasz Xerxes kaum einen geeigneteren Punkt zur Ueberbrückung des Hellesponts hätte finden können.

5. *Ἀβύδῳ καταντίον. καταντίον* ist an allen übrigen Stellen mit Genetiv verbunden (VI 103. 118. VIII 52), weshalb auch wol hier *Ἀβύδου* herzustellen ist. — Die Stadt Abȳdos lag an dem heutigen Cap Nagara, wo sich in dem Flecken Nagara noch Trümmer finden.

χρόνῳ — πολλῷ, im Jahre 478 vor Chr. Der Hergang ist erzählt IX 116—120.

6. *ἐπὶ Ξανθίππου — στρατηγοῦ. ἐπὶ* c. genet. in temporaler Bedeutung. Vgl. I 94: *ἐπ᾽ Ἄτυος βασιλέος.*

8. *διεπασσάλευσαν*, Subiect? — In *διά* liegt nach beiden Seiten hin (vgl. *διαδήσαντας* II 29); *διαπασσαλεύειν* heiszt demnach: Hände und Füsze ausgespannt annageln.

Πρωτεσίλεω. Protesilaos wurde zuerst unter allen hellenischen Kämpfern im trojanischen Kriege getötet, als er bei der Landung der erste vor allen aus dem Schiffe sprang. In Elēus, einer Stadt auf dem thrakischen Chersonnes (vgl. IX 116), war sein Grab; hier hatte er auch einen Heroencult. Zur Sache vgl. IX 116.

9. *ἀθέμιτα.* Einige Handschriften bieten hier wie VIII 143: *ἀθέμιστα*; doch ist V 72 *θεμιτόν* in allen Handschriften überliefert.

10. *ἔρδεσκε.* Beachte die Bedeutung der Iterativform.

34. 11. *τοῖσι προσεκέετο*, denen es oblag, zukam. Vgl. c. 36. Wie hier I 118. 119.

τὴν μέν sc. *γέφυραν*, was aus *ἐγεφύρουν* zu entnehmen. — Ueber die Verbindung *τὴν μὲν λευκολίνου — τὴν δὲ βυβλίνην* s. z. c. 25. Die eine Brücke ruhte auf Tauen (vgl. c. 25) von Weiszflachs, während die Taue der zweiten Brücke aus den Fasern der ägyptischen Papyrosstaude bereitet waren. Da die Taue die Grundlage des ganzen Brückenbaus bildeten, so nennt Herodot die Brücken selbst *γέφυραι* oder *σχεδίαι ἐντεταμέναι* (VIII 117. IX 114). Zur Sache vgl. c. 36.

12. *ἔστι.* Beachte den Numerus (*σχῆμα Πινδαρικόν*). Es schwebt der Begriff des Zwischenraums als Subject vor. Ganz wie hier I 26

Ἀβύδου ἐς τὴν ἀπαντίον. καὶ δὴ ἐξευγμένου τοῦ πόρου ἐπιγενόμενος χειμὼν μέγας συνέκοψέ τε ἐκεῖνα πάντα καὶ διέλυσε.

35 Ὡς δ᾽ ἐπύθετο Ξέρξης, δεινὰ ποιεύμενος τὸν Ἑλλήσποντον ἐκέλευσε τριηκοσίας ἐπικέσθαι μάστιγι πληγὰς καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων ζεῦγος. ἤδη δὲ ἤκουσα, ὡς καὶ στιγέας ἅμα τούτοισι ἀπέπεμψε στίξοντας τὸν Ἑλλήσποντον. ἐνετέλλετο δ᾽ ὦν ῥαπίζοντας λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα· Ὦ πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν. Καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἤν τε σύ γε βούλῃ ἤν τε μή· σοὶ δὲ κατὰ δίκην ἄρα οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι θολερῷ τε καὶ ἁλμυρῷ ποταμῷ. Τήν τε δὴ θάλασσαν ἐνετέλλετο τούτοισι ζημιοῦν, καὶ τῶν ἐπεστεώτων τῇ ζεύξι τοῦ Ἑλλησπόντου

ἔστι δὲ μεταξὺ τῆς τε πόλιος καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. — Auch IV 85 gibt Her. die Breite des Hellesponts zwischen Abydos und Sestos (j. Nagara und Jalova) auf 7 Stadien an, womit auch Strabo's Angabe (p. 125. 581. 591) übereinstimmt. Nach neueren Messungen (Kruse) ist die Stelle jetzt um 3 Stadien breiter (10 Stadien = 1/4 d. Meile), wie sich denn überhaupt die ganze Meeresküste in jenem Teile des Hellesponts im Laufe der Zeit bedeutend verändert hat.

35. 3. δεινὰ ποιεύμενος. S. z. c. 1.

τὸν Ἑλλήσποντον — πληγάς. ἐπικέσθαι μάστιγι, eigentl. „mit der Peitsche treffen" ist als ein Begriff zu fassen (= μαστιγοῦν geiszeln) und daher wie die Verba des Schlagens und Züchtigens mit doppeltem Accusativ verbunden (παίειν τινὰ πληγάς). Dafür μαστιγῶσαι τὸν Ἑλλήσποντον c. 54. In ähnlicher Bedeutung wie hier ἐπικέσθαι steht καθικέσθαι bei Soph. O. rex 809: μέσον κάρα διπλοῖς κέντροισί μου καθίκετο. Man hat die Wahrheit der ganzen Erzählung bezweifeln und sie als eine blosze griechische Fabel ansehen wollen, allein man vergleiche nur die Art, wie Kyros seinen Zorn an dem Flusse Gyndes ausliesz (I 202). Beide Tatsachen liefern Beweise für die Anmaszung eines persischen Despoten, der an die unbedingte Unterwürfigkeit seiner Umgebung gewöhnt, selbst den Widerstand der Naturkräfte und lebloser Wesen strafen zu müssen glaubt. Vgl. c. 88. Daher findet denn Herodot Xerxes Verfahren nicht so sehr kindisch und albern, als frevelhaft und gottlos (s. unt.).

5. ζεῦγος. Paar, auch III 76.

ἤδη heiszt etiam, noch. Genau wie hier c. 55. IV 77. Vgl. II 148: ἤδη δὲ εἶδον und II 175: ἤδη δὲ λέγουσι.

στιγεύς, Brandmarker. Vgl. c. 233.

7. δ᾽ ὦν. Durch δ᾽ ὦν drückt Her. seinen Zweifel an der Brandmarkung aus. S. z. c. 9, III.

11. ἄρα (= natürlich, also) drückt oft auch bei Homer die Enttäuschung von einer vorgefaszten Meinung aus, deren Irrigkeit aus einer vorliegenden Thatsache ersichtlich ist. Oft wird ἄρα in dieser Verbindung mit Imperfect verbunden, so namentlich in der (homerischen) Formel ἦν ἄρα vgl. Hom. Il. XVI 33: οὔτ᾽ ἄρα σοίγε πατὴρ ἦν Πηλεύς und Herod. III 64. 65. IV 45. 64. 205.

θύει, wie dies doch bei anderen Gewässern der Fall ist (c. 113).

13. ἐπεστεώτων. οἱ ἐπεστεῶτες = praepositi. Vgl. c. 117 τὸν

ἀποταμεῖν τὰς κεφαλάς. Καὶ οἳ μὲν ταῦτα ἐποίευν, τοῖσι 36
προσεκέετο αὕτη ἡ ἄχαρις τιμή, τὰς δὲ ἄλλοι ἀρχιτέκτονες ἐζεύγνυσαν· ἐζεύγνυσαν δὲ ὧδε· πεντηκοντέρους καὶ τριήρεας συνθέντες, ὑπὸ μὲν τὴν πρὸς τοῦ Εὐξείνου Πόντου ἑξήκοντά τε καὶ τριηκοσίας, ὑπὸ δὲ τὴν ἑτέρην τεσσερεσκαίδεκα καὶ τριηκοσίας, τοῦ μὲν Πόντου ἐπικαρσίας, τοῦ δὲ Ἑλλησπόντου κατὰ ῥόον, ἵνα ἀνακωχεύῃ τὸν τόνον τῶν ὅπλων, συνθέν-

ἐπεστεῶτα τῆς διώρυχος. Auch II 148.

36. 1. *τοῖσι προσεκέετο*. Vgl. c. 34 und c. 39: *τοῖσι προσετέτακτο ταῦτα πρήσσειν*.

2. *τάς*, *γέφυρας* schwebt vor, da *τῇ ζεύξι* kurz vorhergegangen ist.

4. *συνθέντες*. Die Aufstellung (eig. Zusammenstellung) der Schiffe geschah so, dasz zwischen den einzelnen Schiffen freie Zwischenräume gelassen wurden. Uebrigens bestand nicht etwa die eine Brücke nur aus Pentekonteren, die andere nur aus Trieren, sondern beide Brücken waren aus Schiffen beider Arten zusammengesetzt.

ὑπὸ μὲν τὴν — τριηκοσίας. Die Schiffe bildeten die Grund-(Unter)lage beider Brücken.

πρὸς τοῦ Εὐξείνου Πόντου, „in der Richtung nach dem Pontus Eux. hin." Gemeint ist die Brücke, welche dem Pontus Euxinus (genauer: der Propontis) zugekehrt war. Ueber *πρός* c. genet. s. z. c. 20.

5. *ὑπὸ δὲ τὴν ἑτέρην* = *ὑπὸ τὴν πρὸς τοῦ Ἑλλησπόντου* (s. 25).

6. *τοῦ μὲν Πόντου ἐπικαρσίας, τοῦ δὲ Ἑλλησπόντου κατὰ ῥόον* erkläre durch folgende Umschreibung: *ὑπὸ μὲν τὴν* (*γέφυραν*) *πρὸς τοῦ Πόντου* (*φέρουσαν*) *ἐπικαρσίας* (*τὰς νέας συνθέντες*), *ὑπὸ δὲ τὴν ἑτέρην τὴν πρὸς τοῦ Ἑλλησπόντου* (*φέρουσαν*) *κατὰ ῥόον* (*τὰς νέας συνθέντες*). Sowol zu *τοῦ Πόντου* als zu *τοῦ Ἑλλησπόντου* ist *πρός* aus dem kurz vorhergegangenen *πρὸς τοῦ Εὐξείνου πόντου* (ob. 4) zu ergänzen.

ἐπικαρσίας, in schräger Richtung. *ἐπικάρσιος*, schräg ist I 180 zu *ἰθύς*, IV 101 zu *ὄρθιος* in Gegensatz gestellt. Es lagen also die Schiffe der oberen, dem Pontus zugekehrten Brücke nicht in gerader, sondern in schräger Linie vor Anker und daraus erklärt es sich, dasz bei der oberen Brücke eine gröszere Anzahl von Fahrzeugen erforderlich war als bei der unteren. — *ἐπικάρσιος* kann nicht die Bedeutung haben, dasz die Schiffe in der oberen Brücke dem Strome die breite Seite zuwandten, denn vernünftigerweise muszten die Schiffe in beiden Brücken so aufgestellt werden, dasz sie der Strömung, die vom Pontus Euxinus herkommt, nicht die Bordseite, sondern den Bug zukehrten.

7. *κατὰ ῥόον* muss im Gegensatz zu *ἐπικαρσίας* die Bedeutung haben, „der vollen (d. i. ungeteilten) Strömung ausgesetzt." Auch die Schiffe der oberen Brücke standen zwar *κατὰ ῥόον* (= secundo fluvio), aber da sie in schräger Richtung aufgestellt waren, so wurde die Strömungslinie in ihrem geraden Laufe unterbrochen, was bei den Schiffen der unteren Brücke, die in gerader Linie vor Anker lagen, also senkrecht auf der Strombreite standen, nicht der Fall war; von ihnen konnte also vorzugsweise gesagt werden, dasz sie *κατὰ ῥόον* aufgestellt waren. Da die obere Brücke der unteren zum Schutze diente, indem sie zuerst die Gewalt der Strömung aushalten musste, so hatte man bei der unteren Brücke die Schrägstellung der Schiffe, durch welche bei der oberen Brücke der Andrang der Wellen gebrochen wurde, nicht für erforderlich gehalten.

ἵνα ἀνακωχεύῃ — ὅπλων ist eng mit *πεντηκοντέρους* — *συνθέντες* (oben 3) zu verbinden, da die

τες δὲ ἀγκύρας κατῆκαν περιμήκεας, τὰς μὲν πρὸς τοῦ Πόντου τῆς ἑτέρης τῶν ἀνέμων εἵνεκεν τῶν ἔσωθεν ἐκπνεόντων, τῆς δὲ ἑτέρης τῆς πρὸς ἑσπέρης τε καὶ τοῦ Αἰγαίου εὕρου τε καὶ νότου εἵνεκεν, διέκπλοον δὲ ὑπόφαυσιν κατέλιπον τῶν πεντηκοντέρων καὶ τριηρέων τριχοῦ, ἵνα καὶ ἐς τὸν Πόντον ἔχῃ ὁ βουλόμενος πλώειν πλοίοισι λεπτοῖσι καὶ ἐκ τοῦ Πόντου ἔξω. ταῦτα δὲ ποιήσαντες κατέτεινον ἐκ γῆς στρεβλοῦντες ὄνοισι ξυλίνοισι τὰ ὅπλα, οὐκέτι χωρὶς ἑκάτερα τάξαντες, ἀλλὰ δύο μὲν λευκολίνου δασάμενοι ἐς ἑκατέρην, τέσσερα δὲ τῶν βυβλίνων. παχύτης μὲν ἦν ἡ αὐτὴ καὶ καλλονή, κατὰ λόγον δὲ ἦν ἐμβριθέστερα τὰ λίνεα, τοῦ τάλαντον ὁ πῆχυς εἷλκε.

eingeschobenen Sätze *ὑπὸ μέν — ὑπὸ δέ* und *τοῦ μὲν — τοῦ δέ* als erläuternde Parenthesen zu fassen sind. Aus dem Participialsatze *πεντηκοντέρους — συνθέντες* ist auch das Subject zu dem abhängigen Satze *ἵνα ἀνακωχεύῃ — ὅπλων* zu entnehmen. Als Subjectsbegriff schwebt vor: *ἡ σύνθεσις τῶν πεντηκοντέρων καὶ τριήρεων*. Danach bedeuten die Worte *πεντηκοντέρους καὶ τριηρέας συνθέντες ἵνα ἀνακωχεύῃ τῶν ὅπλων τὸν τόνον*: Sie stellten Pentekonteren und Trieren zusammen, damit die (dadurch entstandene) Vereinigung von Schiffen die Spannung ihrer von Küste zu Küste gelegten Taue unterstütze und erhalte. — *τὸν τόνον τῶν ὅπλων* = *τὰ ὅπλα ἐντεταμένα*. Ebenso unten (*κορμοὺς ξύλων ἐπετίθεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου*).

συνθέντες δὲ nimmt *πεντηκοντέρους κ. τρ. συνθέντες* wieder auf.

1. *τὰς μέν, ἀγκύρας*. — *τῆς ἑτέρης* (erg. *γεφύρης*) ist kurz gesagt für *τῶν νεῶν τῆς ἑτέρης γεφύρης* und hängt von *τὰς μέν* ab. Welche von beiden Brücken gemeint sei, ist durch *πρὸς τοῦ Πόντου* (s. vor. S. z. *συνθέντες*) bezeichnet.

2. *τῶν ἔσωθεν* „aus dem Innern des Pontos (genauer: der Propontis).“

3. *τῆς δὲ ἑτέρης* vollständiger: *τὰς δὲ τῆς ἑτέρης*. Auch zu diesem Satze ist *κατῆκαν* als Prädicat zu denken.

τῆς πρὸς ἑσπέρης τε καὶ τοῦ Αἰγαίου = *τῆς πρὸς τοῦ Ἑλλησπόντου* (vor. S. 7).

4. *διέκπλοον*, als Durchfahrt; *διέκπλοος* in anderer Bedeutung VI 12.

5. *τριχοῦ* gebildet wie *διχοῦ* (IV 120).

7. *κατέτεινον — ὅπλα*. Sie spannten über jede der beiden Schiffslinien von Küste zu Küste sechs ungeheure Taue, welche den doppelten Zweck erfüllen sollten, erstens die Schiffe zusammen zu halten, zweitens den Brückenweg zu stützen, der über sie gelegt werden sollte. Hatten sie sich durch ihre eigene Last oder durch die Wirkung des Stroms gesenkt, so wurden sie durch Schiffswinden (= *ὄνοισι*) an jeder Küste wieder angezogen.

8. *οὐκέτι χωρὶς ἑκάτερα* „nicht mehr beiderlei Arten (von Tauen) besonders,“ wie das vorige Mal (c. 34). Während bei dem ersten Brückenbau die Phöniker für die von ihnen gebaute Brücke nur Weiszflachstaue (c. 34), die Aegypter für die ihre nur Byblostaue verwendet hatten, so erhielt jetzt jede Brücke Taue von beider Art (jede zwei von Weiszflachs und vier von Byblos).

10. *καλλονή* = *κάλλος* gebraucht Herodot auch III 106. Ein sonst seltenes Wort.

κατὰ λόγον = nach Verhältnis, d. h. die beiden Weiszflachstaue waren schwerer als 2 Byblostaue.

11. *τοῦ* (näml. *τοῦ ὅπλου λευκο-*

ἐπειδὴ δὲ ἐγεφυρώθη ὁ πόρος, κορμοὺς ξύλων καταπρίσαντες καὶ ποιήσαντες ἴσους τῆς σχεδίης τῷ εὖρεϊ κόσμῳ ἐπετίθεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου, θέντες δὲ ἐπεξῆς ἐνθαῦτα αὖτις ἐπεζεύγνυον. ποιήσαντες δὲ ταῦτα ὕλην ἐπεφόρησαν, κόσμῳ δὲ θέντες καὶ τὴν ὕλην γῆν ἐπεφόρησαν, κατανάξαντες δὲ καὶ τὴν γῆν φραγμὸν παρείρυσαν ἔνθεν καὶ ἔνθεν, ἵνα μὴ φοβέηται τὰ ὑποζύγια τὴν θάλασσαν ὑπερορέοντα καὶ οἱ ἵπποι.

Ὡς δὲ τά τε τῶν γεφυρέων κατεσκεύαστο καὶ τὰ περὶ τὸν 37
Ἄθων, οἵ τε χυτοὶ περὶ τὰ στόματα τῆς διώρυχος, οἳ τῆς ῥηχίης εἵνεκεν ἐποιήθησαν, ἵνα μὴ πίμπληται τὰ στόματα τοῦ ὀρύγματος καὶ αὐτὴ ἡ διῶρυξ παντελέως πεποιημένη ἠγγέλλετο, ἐνθαῦτα χειμερίσας, ἅμα τῷ ἔαρι παρεσκευασμένος ὁ στρατὸς ἐκ τῶν Σαρδίων ὡρμᾶτο ἐλέων ἐς Ἄβυδον. ὡρμημένῳ δέ οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς

λίνου) ist relativ und mit ὁ πῆχυς zu verbinden. — τάλαντον. Das attische Talent als Gewicht beträgt etwa 52 Pfd.

2. κόσμῳ, in guter Ordnung, auch II 52. VIII 67 (ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο).

3. κατύπερθε τῶν ὅπλων τοῦ τόνου = κατύπερθε τῶν ὅπλων ἐντεταμένων. Vgl. o. S. 41, 7: τὸν τόνον τῶν ὅπλων.

4. ἐπεζεύγνυον, τοὺς κορμούς. Auch über die in guter Ordnung neben einander gelegten Holzblöcke, die nach oben und unten fest miteinander verbunden waren, zogen sie eine zweite Taulinie, um sie an ihrer Stelle fest zu halten.

5. ὕλη = materies „Strauchwerk,“ mit welchem die Zwischenräume zwischen den Holzblöcken ausgefüllt wurden.

6. φραγμός, Geländer. ἔνθεν καὶ ἔνθεν, an beiden Seiten der Brücke; wie hier IV 71.

7. τὴν θάλασσαν ὑπερορέοντα. ὑπερορᾶν τι steht hier in der sonst nicht weiter nachzuweisenden Bedeutung etwas von oben herabsehen, in welchem Sinne sonst meist κατορᾶν gebraucht wird.

37. Zug von Sardes nach Abydos. Sonnenfinsternis. Pythios und Xerxes. Ordnung des Zuges. Marschroute (c. 37—43).

8. τὰ περὶ τὸν Ἄθων wird nachher genauer bestimmt durch οἵ τε χυτοί — καὶ ἡ διῶρυξ. Das diesen beiden Subjecten gemeinschaftliche Praedicat (= παντελ. πεποιημένη ἠγγέλλετο) ist grammatisch nur an das letztere (ἡ διῶρυξ) angeschlossen.

9. χυτοί. χυτός molo, dafür χῶμα III 59: περὶ λιμένα χῶμα ἐν θαλάσσῃ ἐστί.

10. πίμπληται, „damit das Wasser nicht über die Ufer des Grabens hinausgehe.“

11. πεποιημένη ἠγγέλλετο. ἀγγέλλειν mit Particip verbunden (wie die Verba der Warnehmung μανθάνειν u. s. w.) auch VI 69 ὅτε σὺ ἠγγέλθης γεγεννημένος.

12. τῷ ἔαρι. Im Frühjahr des Jahres 480 v. Chr. Im November desselben Jahres war Xerxes schon wieder in Asien (45 Tage nach der Schlacht bei Salamis, welche am 20. September stattfand; vgl. VIII 113. 115).

13. ἐλέων. S. z. c. 33.

14. τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην. ἐκ wegen des in ἐκλείπειν enthaltenen Begriffs der Bewegung. Vgl. II 18: οἱ γὰρ δὴ ἐκ Μαρέως πόλιος — ἔπεμψαν; ähnlich bei παύειν c. 149 und VI 46. Mit ἀπό unten c. 144: χρήματα ἐκ τῶν μετάλλων σφι προσῆλθε τῶν ἀπὸ Λαυρείου; so auch VI 22. Aehnlich c. 93

ἦν οὔτ' ἐπινεφέλων ἐόντων αἰθρίης τε τὰ μάλιστα, ἀντὶ ἡμέ-
ρης τε νὺξ ἐγένετο. ἰδόντι δὲ καὶ μαθόντι τοῦτο τῷ Ξέρξῃ
ἐπιμελὲς ἐγένετο, καὶ εἴρετο τοὺς μάγους, τὸ ἐθέλοι προφαί-
νειν τὸ φάσμα. οἱ δὲ ἔφραζον, ὡς Ἕλλησι προδεικνύει ὁ θεὸς
ἔκλειψιν τῶν πολίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων προδέ-
κτορα, σελήνην δὲ σφέων. πυθόμενος δὲ ταῦτα ὁ Ξέρξης περι-
38 χαρὴς ἐὼν ἐποιέετο τὴν ἔλασιν. Ὡς δ' ἐξήλαυνε τὴν στρατιήν,
Πύθιος ὁ Λυδὸς καταρρωδήσας τὸ ἐκ τοῦ οὐρανοῦ φάσμα
ἐπαερθείς τε τοῖσι δωρήμασι ἐλθὼν παρὰ Ξέρξην ἔλεγε τάδε·
Ὦ δέσποτα, χρηΐσας ἄν τευ βουλοίμην τυχεῖν, τὸ σοὶ μὲν ἐλα-

Δωριέες δὲ οἱ ἐκ Ἀσίης. Vgl. c. 106. 107. 134.

1. *οὔτε — τε*. S. z. c. 8, I.

ἐπινεφέλων, vom Nomin. *ἐπινέφελα* „bewölkter Himmel." Vgl. Arist. Probl. XXV 18: *διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται ἢ ἐπινεφέλων ὄντων*. Vgl. auch Thuk. VIII 42: *τὰ ἐκ τοῦ οὐρανοῦ ξυννέφελα ὄντα πλάνησιν παρέσχεν*.

αἰθρίης ist temporaler Genetiv; wie hier Arist. Nub. 371. Vgl. Arist. Meteor. I 10: *αἰθρίας τε καὶ νηνεμίας*.

ἀντὶ ἡμέρης τε νὺξ ἐγένετο. Nach den Berechnungen des Astronomen Airy ist im Frühjahr des Jahres 480 v. Chr. keine Sonnenfinsternis eingetreten, wol aber im April des Jahres 481, die indes nach demselben Gelehrten in Kleinasien nicht sichtbar gewesen sein kann. Er meint daher, dasz hier an die totale Mondfinsternis zu denken sei, die im März 479 stattfand, eine Annahme, die indes aus vielen Gründen unzulässig erscheint. Abweichend von Airy hat Zech gefunden, dasz allerdings am 18. April 480 eine totale Sonnenfinsternis eingetreten ist, doch kann dieselbe nach seiner Berechnung nur im indischen Ocean und an der Ostküste Asiens sichtbar gewesen sein. Zwei andere Sonnenfinsternisse, die von demselben Astronomen durch Berechnung gefunden sind, die eine, totale, am 8. April 479 (nicht sichtbar in Sardes), die andere, ringförmige, am 16. Februar 477 (sichtbar in Sardes), lassen sich ebenfalls beide mit Herodots Angabe nicht vereinigen. Bei diesen von einander abweichenden Ansichten den Astronomen ist kein genügender Grund vorhanden, die Richtigkeit von Herod. Angabe in Zweifel zu ziehen. — Ueber eine andere von Herodot erwähnte Sonnenfinsternis s. z. I 74.

3. *ἐπιμελὲς ἐγένετο*. Dieselbe Wendung I 89. V 12.

τὸ ἐθέλοι. Relativum statt des Interrogativum. Häufig so bei Herod. Ueber die Bedeutung von *ἐθέλειν* s. z. c. 10, IV.

4. *ὁ θεός*, *Ἥλιος*.

5. *προδέκτωρ* (von *προδείκνυμι*) ion. = *προδείκτωρ*. Zur Begründung ihrer Deutung der Sonnenverfinsterung führten die Mager an, dasz wenn sich an der Sonne eine Veränderung zeige, dies eine unglückliche Vorbedeutung für die Griechen sei, nicht für die Perser, da diesen ungewöhnliche Erscheinungen am Monde Unglück vorher verkündigten.

38. 8. *τὸ ἐκ τοῦ οὐρανοῦ φάσμα*. *ἐκ* ist gesetzt, weil die Erscheinung darin bestanden, dasz die Sonne sich von ihrem Platze am Himmel entfernt. S. z. c. 37 (*ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην*).

9. *ἐπαερθεὶς τοῖσι δωρήμασι*. Vgl. c. 27.

10. *χρηΐσας ἄν τευ*. *χρηΐζειν τινός* gebraucht Herodot häufig im Sinne von *δέεσθαί τινος*; so gleich im folgenden. Statt *τινὸς*, *τινὶ*, *τινῶν*, *τισὶ* gebraucht Her. die (nur enklitischen) Formen *τεῦ* (*τεο*), *τεῷ*, *τεῶν*, *τεοῖσι*. Ebenso lauten die Formen des interrogativen *τίς*.

φρὸν τυγχάνει ἐὸν ὑπουργῆσαι, ἐμοὶ δὲ μέγα γενόμενον. Ξέρξης δὲ πᾶν μᾶλλον δοκέων μιν χρηΐσειν ἢ τὸ ἐδεήθη, ἔφη τε ὑπουργήσειν καὶ δὴ ἀγορεύειν ἐκέλευε, ὅτευ δέοιτο. ὁ δὲ ἐπείτε ταῦτα ἤκουσε, ἔλεγε θαρσήσας τάδε· Ὦ δέσποτα, τυγχάνουσί μοι παῖδες ἐόντες πέντε, καί σφεας καταλαμβάνει πάντας ἅμα σοὶ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. σὺ δέ, ὦ βασιλεῦ, ἐμὲ ἐς τόδε ἡλικίης ἥκοντα οἰκτείρας τῶν μοι παίδων ἕνα παράλυσον τῆς στρατηΐης τὸν πρεσβύτατον, ἵνα αὐτοῦ τε ἐμεῦ καὶ τῶν χρημάτων ᾖ μελεδωνός. τοὺς δὲ τέσσερας ἄγε ἅμα σεωυτῷ, καὶ πρήξας τὰ νοέεις νοστήσειας ὀπίσω. Κάρτα τε 39
ἐθυμώθη ὁ Ξέρξης, καὶ ἀμείβετο τοισίδε· Ὦ κακὲ ἄνθρωπε, σὺ ἐτόλμησας ἐμεῦ στρατευομένου αὐτοῦ ἐπὶ τὴν Ἑλλάδα καὶ ἄγοντος παῖδας ἐμοὺς καὶ ἀδελφεοὺς καὶ οἰκηΐους καὶ φίλους μνήσασθαι περὶ σέο παιδὸς, ἐὼν ἐμὸς δοῦλος, τὸν χρῆν πανοικίῃ αὐτῇ γυναικὶ συνέπεσθαι; εὖ νῦν τόδ' ἐξεπίστασο, ὡς ἐν τοῖσι ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμὸς, ὃς χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλέει τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκούσας ἀνοιδέει. ὅτε μέν νυν χρηστὰ ποιήσας ἕτερα τοιαῦτα ἐπηγγέλλεο, εὐεργεσίῃσι βασιλέα οὐ καυχήσεαι ὑπερβαλέσθαι, ἐπείτε δὲ ἐς τὸ ἀναιδέστερον ἐτράπευ, τὴν μὲν ἀξίην οὐ λάμψεαι, ἐλάσσω δὲ τῆς ἀξίης. σὲ μὲν γὰρ καὶ τοὺς τέσσερας τῶν παίδων ῥύεται τὰ ξείνια, τοῦ δὲ ἑνὸς, τοῦ περιέχεαι μάλιστα,

1. *ἐμοὶ δὲ μέγα* erg. *τυγχάνει ἐόν*. — *γενόμενον* „wenn es gewährt wird.“

2. *τὸ ἐδεήθη*. *δέεσθαι*, sonst meist mit Genetiv verbunden, findet sich zuweilen auch mit dem Accusativ eines Pronomens (Accus. des Inhalts).

5. *καταλαμβάνει*, unpersönlich wie III 118: *Ἰνταφέρνεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανεῖν αὐτίκα.* Ueber die Bedeutung von *καταλαμβάνειν* s. z. c. 10, III.

7. *τῶν μοι παίδων*. *μοὶ* ist Dativ des Besitzes. Vgl. III 3: *τῶν δέ οἱ* (= *ἑωυτοῦ*) *παίδων τὸν πρεσβύτερον εἰπεῖν Καμβύσην*. S. z. c. 16.

8. *παράλυσον*. Zur Structur von *παραλύειν* vgl. VI 94: *Μαρδόνιον φλαύει πρήξαντα τῷ στόλῳ παραλύει τῆς στρατηγίης.* Ebenso unt. c. 88.

39. 14. *μνήσασθαι περί*, wie I 36 *παιδὸς μὲν πέρι μὴ μνησθῆτε.*

πανοικίῃ cum tota familia. Wie hier VIII 106. IX 109.

15. *αὐτῇ γυναικί*, una cum uxore. Vgl. III 126: *ἀποκτείνας δέ μιν ἠφάνισε αὐτῷ ἵππῳ.* Ebenso II 47. III 45. 100.

18. *ἀνοιδέει*, *χόλῳ*. Vgl. Hom. Il. IX 646: *οἰδάνεται κραδίη χόλῳ.*

ἕτερα τοιαῦτα = *τὰ αὐτά* i. e. *χρηστά*. So sehr häufig bei Herodot; vgl. I 120. 191. III 79. Zur Sache s. c. 27.

20. *τὴν ἀξίην*. *ἡ ἀξίη* auch IV 196. 201.

λάμψεαι Attisch?

22. *ῥύεσθαι*, servare, auch c. 90 *ταῦτα ἐρρύσατο τοὺς Ἕλληνας*, ebenso c. 154.

ξείνια. S. c. 27.

περιέχεσθαι. Vgl. III 53: *περιεχόμενος τοῦ νεηνίεω.* Aehnlich c. 160.

τῇ ψυχῇ ζημιώσεαι. Ὡς δὲ ταῦτα ὑπεκρίνατο, αὐτίκα ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον μέσον διαταμεῖν, διαταμόντας δὲ τὰ ἡμίτομα διαθεῖναι, τὸ μὲν ἐπὶ δεξιὰ τῆς ὁδοῦ, τὸ δ᾽ ἐπ᾽ ἀρι-
40 στερὰ, καὶ ταύτῃ διεξιέναι τὸν στρατόν. Ποιησάντων δὲ τούτων τοῦτο μετὰ ταῦτα διεξήϊε ὁ στρατός. ἡγέοντο δὲ πρῶτοι μὲν οἱ σκευοφόροι τε καὶ τὰ ὑποζύγια, μετὰ δὲ τούτους στρατὸς παντοίων ἐθνέων ἀναμὶξ, οὐ διακεκριμένοι· τῇ δὲ ὑπερημίσεες ἦσαν, ἐνθαῦτα διελέλειπτο, καὶ οὐ συνέμισγον οὗτοι βασιλέϊ. προηγέοντο μὲν δὴ ἱππόται χίλιοι ἐκ Περσέων πάντων ἀπολελεγμένοι, μετὰ δὲ αἰχμοφόροι χίλιοι, καὶ οὗτοι ἐκ πάντων ἀπολελεγμένοι, τὰς λόγχας κάτω ἐς τὴν γῆν τρέψαντες, μετὰ δὲ ἱροὶ Νισαῖοι καλεόμενοι ἵπποι δέκα, κεκοσμημένοι ὡς κάλλιστα. Νισαῖοι δὲ καλέονται ἵπποι ἐπὶ τοῦδε· ἔστι πεδίον μέγα τῆς Μηδικῆς, τῷ οὔνομά ἐστι Νίσαιον. τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἷλκον λευκοὶ ὀκτὼ, ὄπισθε δὲ τῶν ἵππων εἵπετο πεζῇ ἡνίοχος ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ δὴ ἐπὶ τοῦτον τὸν θρόνον ἀνθρώπων ἀναβαίνει. τούτου δὲ ὄπισθε αὐτὸς Ξέρξης

1. ζημιώσεαι. Futur. med. in passiver Bedeutung, wie unt. c. 149. 159. V 34 πολιορκησόμενοι, ebenso V 35. VI 9. VI 11. — Grausamer war die Strafe, die Darius in einem gleichen Falle verhängte (IV 84).

ὑπεκρίνατο. ὑποκρίνεσθαι gebraucht Herod. in der Bedeutung des att. ἀποκρίνεσθαι. Vgl. c. 135.

2. τοῖσι προσετέτακτο ταῦτα πρήσσειν. In gleichem Sinne steht III 39: τοῖσι ταῦτα πρήσσουσι und oben c. 36: οὗτοι τοῖσι προσεκέετο.

40. 8. ἀναμὶξ, οὐ διακεκριμένοι. Aehnliche Zusammenstellungen eines positiven und negativen Ausdrucks zur nachdrücklichen Bezeichnung eines und desselben Begriffs finden sich häufig bei Herodot. Vgl. IV 161 χωλὸς ἐὼν καὶ οὐκ ἀρτίπους. Aehnlich c. 40. III 35. IX 55.

9. διελέλειπτο, unpersönlich zu fassen wie VI 112 διετέτακτο. Wie hier c. 41.

13. Νισαῖοι ἵπποι, auch erwähnt III 106. IX 20. Die Nisäischen Pferde waren im Altertum wegen ihrer Grösze, Ausdauer und Schnelligkeit berühmt. Das Nisäische Feld scheint mit der in der Inschrift von Behistun erwähnten medischen Landschaft Niçaya zusammenzufallen, die vermutlich im südwestlichen Medien zu suchen ist; dort befanden sich wenigstens nach Diod. XVII 10 und Arrian Anab. VII 13 die königlichen Gestüte, auf welchen die ausgezeichnetsten Pferde gezogen wurden. Auf den Ebenen um Kermanschah weiden noch heute unzählige Herden wilder Pferde.

14. ἐπὶ τοῦδε. Statt des sonst bei den Verben des Nennens gebräuchlicheren ἀπό gebraucht Herodot häufig ἐπί. Ganz wie hier c. 74. 83. 178. Vgl. c. 193. ἀπό c. 74.

17. Διός. Unter Zeus versteht Her. die höchste Lichtgottheit Ahuramazda (Ormuzd), den Schöpfer des Weltalls. S. z. I 131.

ἐπ' ἅρματος ἵππων Νισαίων· παραβεβήκεε δέ οἱ ἡνίοχος, τῷ
οὔνομα ἦν Πατιράμφης, Ὀτάνεω παῖς ἀνδρὸς Πέρσεω.
Ἐξήλασε μὲν οὕτω ἐκ Σαρδίων Ξέρξης, μετεκβαίνεσκε δὲ, 41
ὅκως μιν λόγος αἱρέοι, ἐκ τοῦ ἅρματος ἐς ἁρμάμαξαν. αὐτοῦ
δὲ ὄπισθε αἰχμοφόροι Περσέων οἱ ἄριστοί τε καὶ γενναιότατοι
χίλιοι, κατὰ νόμον τὰς λόγχας ἔχοντες, μετὰ δὲ ἵππος ἄλλη
χιλίη ἐκ Περσέων ἀπολελεγμένη, μετὰ δὲ τὴν ἵππον ἐκ τῶν
λοιπῶν Περσέων ἀπολελεγμένοι μύριοι. οὗτος πεζὸς ἦν· καὶ
τούτων χίλιοι μὲν ἐπὶ τοῖσι δούρασι ἀντὶ τῶν σαυρωτήρων
ῥοιὰς εἶχον χρυσέας, καὶ πέριξ συνεκλήϊον τοὺς ἄλλους, οἱ δὲ
εἰνακισχίλιοι ἐντὸς τούτων ἐόντες ἀργυρέας ῥοιὰς εἶχον. εἶχον
δὲ χρυσέας ῥοιὰς καὶ οἱ ἐς τὴν γῆν τράποντες τὰς λόγχας,
καὶ μῆλα οἱ ἄγχιστα ἑπόμενοι Ξέρξῃ. τοῖσι δὲ μυρίοισι ἐπε-
τέτακτο ἵππος Περσέων μυρίη. μετὰ δὲ τὴν ἵππον διελέλειπτο
καὶ δύο σταδίους, καὶ ἔπειτεν ὁ λοιπὸς ὅμιλος ἤϊε ἀναμίξ.
Ἐποιέετο δὲ τὴν ὁδὸν ἐκ τῆς Λυδίης ὁ στρατὸς ἐπί τε ποταμὸν 42
Κάϊκον καὶ γῆν τὴν Μυσίην, ἀπὸ δὲ Καΐκου ὁρμεόμενος, Κά-

ἵππος wie häufig collectiv. Vgl. c. 85. 158.

1. παραβεβήκεέ οἱ, eig. war neben ihm heraufgestiegen, d. i. stand neben ihm.

τῷ οὔνομα ἦν Πατιρ. In der Wendung οὔνομά τινί ἐστι steht der Name in gleichem Casus mit οὔνομα. So auch oben (τῷ οὔνομά ἐστι Νίσαιον). Vgl. c. 56. 108.

41. 3. μετεκβαίνεσκε. Beachte die Iterativform; ihr entspricht im folgenden die Bedeutung von ὅκως c. optat. (s. z. c. 6).

4. λόγος αἱρέοι. λόγος αἱρέει wie hier mit personalem Obiect verbunden IV 127: πρότερον δὲ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ (= ἢν μὴ βουλευομένοισι δοκέῃ), οὐ συμμίξομέν τοι. So auch I 132. Mit Artikel, aber ohne personales Object wie II 33 (ὁ λόγος αἱρέει), III 45. VI 124. bedeutet die Wendung, so viel wie ratio evincit, suadet.

ἁρμάμαξα, ein bedeckter Reisewagen (besonders für Frauen, s. c. 83), ἅμαξα ist meist ein Lastwagen, ἅρμα Streitwagen.

6. κατὰ νόμον, d. i. ἄνω. Anders c. 40 (τὰς λόχας κάτω ἐς τὴν γῆν τρέψαντες).

8. μύριοι, die Unsterblichen. S. c. 83.

οὗτος das Pronomen im Genus und Numerus auf das Prädicat bezogen. S. z. c. 5.

9. σαυρωτήρ, heiszt bei Homer οὐρίαχος, bei Späteren στύραξ.

12. καὶ οἱ—τράποντες, wie die kurz vorher erwähnten (9) Tausend.

13. μῆλα, χρύσεα. Sie hieszen daher μηλοφόροι. Vgl. Athen. XII 514: ἐπὶ τῶν στυράκων μῆλα χρυσᾶ ἔχοντες.

14. διελέλειπτο, unpersönlich zu fassen wie c. 40.

15. καὶ δύο στ. Das erklärende καί (= und zwar) wird häufig mit Zahlbegriffen verbunden. Vgl. III 60: χῶμα βάθος (= an Tiefe) καὶ εἴκοσι ὀργυιέων. Aehnlich II 44. 175. IV 71.

42. 17. Κάϊκον. Der Kaïkos (j. Ak-Su oder Bokhair) durchflieszt die nach ihm benannte Fruchtebene τὸ Καΐκου πεδίον in Mysien. Vgl. VI 18.

Κάνης οὖρος. Der Berg Kana wird auch von Mela I 18 erwähnt. Zwischen ihm und dem

νης οὖρος ἔχων ἐν ἀριστερῇ, διὰ τοῦ Ἀταρνέος ἐς Καρίνην πόλιν ἀπὸ δὲ ταύτης διὰ Θήβης πεδίου ἐπορεύετο, Ἀτραμύττειόν τε πόλιν καὶ Ἄντανδρον τὴν Πελασγίδα παραμειβόμενος, τὴν Ἴδην δὲ λαβὼν ἐς ἀριστερὴν χεῖρα ἤϊε ἐς τὴν Ἰλιάδα γῆν. καὶ πρῶτα μέν οἱ ὑπὸ τῇ Ἴδῃ νύκτα ἀναμείναντι βρονταί τε καὶ πρηστῆρες ἐπεσπίπτουσι, καί τινα αὐτοῦ ταύτῃ συ-
43 *χνὸν ὅμιλον διέφθειραν. Ἀπικομένου δὲ τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον, ὃς πρῶτος ποταμῶν, ἐπείτε ἐκ Σαρδίων ὁρμηθέντες ἐπεχείρησαν τῇ ὁδῷ, ἐπέλιπε τὸ ῥέεθρον οὐδ᾽ ἀπέχρησε τῇ στρατιῇ τε καὶ τοῖσι κτήνεσι πινόμενος, ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς ἀπίκετο Ξέρξης, ἐς τὸ Πριάμου Πέργαμον ἀνέβη ἵμερον ἔχων θηήσασθαι. θηησάμενος δὲ καὶ πυθόμενος ἐκεί-*

Vorgebirge Lekton liegt die Bucht von Adramyttion.

1. *τοῦ Ἀταρνέος*. Vgl. I 160: *Ἀταρνεύς ἐστι χῶρος τῆς Μυσίης, Λέσβου ἀντίος*. S. auch VI 4. 28.

Καρίνη, wahrscheinlich dieselbe, welche bei Steph. Byz. s. v. *Καρήνη, πόλις Μυσίας* heiszt.

2. *Θήβης πεδίον*. So hiesz die fruchtbare Gegend um die Spitze des adramyttischen Meerbusens (zwischen Adramyttion und Karina) nach der oft bei Homer erwähnten mysischen Stadt *Θήβη* (*ὑποπλακίη*). Vgl. Hom. Il. I 366. VI 397. 416 öft. — Denselben Weg wie Xerxes nahm später Xenophon mit den Zehntausend. Vgl. Anab. VII 8 § 7: *ἐντεῦθεν ἐπορεύοντο διὰ τῆς Τρῳάδος καὶ ὑπερβάντες τὴν Ἴδην εἰς Ἄντανδρον ἀφικνοῦνται πρῶτον, εἶτα παρὰ θάλατταν πορευόμενοι τῆς Λυδίας εἰς Θήβης πεδίον· ἐντεῦθεν δὲ Ἀδραμυττίου καὶ Κερτονίου παρ᾽ Ἀταρνέα εἰς Καΐκου πεδίον ἐλθόντες Πέργαμον καταλαμβάνουσι τῆς Μυσίας.*

Ἀτραμύττειον, noch heute Adramitti. Nach ihr ist der gleichnamige Meerbusen benannt. In der Nähe lag das kleine, von Pelasgern (nach andern von Lelegern) gegründete Antandros (V 26.).

3. *παραμείβεσθαι*, in gleicher Bedeutung wie c. 30. 109. 112. 225 gebraucht.

4. *Ἴδην λαβὼν ἐς ἀριστερὴν χεῖρα*. Vgl. Xen. Anab. l. l. *ἐπορεύοντο διὰ τῆς Τρῳάδος καὶ ὑπερβάντες τὴν Ἴδην εἰς Ἄντανδρον ἀφικνοῦνται.* Gemeint ist der östliche Seitenarm des Ida (Gargaron), welcher vom Adramyttischen Busen ab am Meere entlang ins ilische Gebiet hineinläuft und sich bis zur Propontis hinzieht.

Ἰλιάδα. *Ἰλιάς* adiectivisch wie *Ἑλλάς* IV 78 und *Ἰάς* IV 95.

5. *πρῶτα μέν οἱ — βρονταὶ ἐπεσπίπτουσι*. Es entspricht dem *πρῶτα μέν* im folgenden: *ἀπικομένου δὲ τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον — ἐπέλιπε τὸ ῥέεθρον*, als zweiter Unfall, welcher das Heer auf dem Marsche traf.

6. *τινά*. Ueber das mit *συχνόν* zu verbindende *τις* s. z. c. 8, IV.

αὐτοῦ ταύτῃ wird oft so von Herodot verbunden. S. z. c. 10, VIII

7. *διέφθειραν* neben *ἐπεσπίπτουσι*. Ein ähnlicher Wechsel der Tempora VI 4. 18. 34 öfter.

43. 9. *τὸ ῥέεθρον* ist Accusativ des Bezugs (nicht Objectsaccusativ). Vgl. c. 58. 196. Dieselbe Wendung ohne *τὸ ῥέεθρον* c. 127.

10. *ἐπὶ τοῦτον — ὡς ἀπίκετο*. Epanalepsis des *ἀπικομένου δὲ τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον*.

11. *Πέργαμον*. Gemeint ist die Burg von Troja, von der vielleicht damals noch Trümmer vorhanden waren.

12. *ἐκείνων* ist Neutrum und von *ἕκαστα* abhängig; V 13 steht in gleichem Sinne *αὐτὰ ἕκαστα* (= alles dies). Gemeint sind die troischen Sagen.

νων ἕκαστα τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε βοῦς χιλίας, χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι ἐχέαντο. ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατόπεδον ἐνέπεσε. ἅμα ἡμέρῃ δὲ ἐπορεύετο ἐνθεῦτεν, ἐν ἀριστερῇ μὲν ἀπέργων Ῥοίτειον πόλιν καὶ Ὀφρύνειον καὶ Δάρδανον, ἥπερ δὴ Ἀβύδῳ ὅμουρός ἐστι, ἐν δεξιῇ δὲ Γέργιθας Τευκρούς.

Ἐπεὶ δ' ἐγένοντο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι 44
πάντα τὸν στρατόν. καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτοῦ ταύτῃ προεξέδρη λίθου λευκοῦ (ἐποίησαν δὲ Ἀβυ-

1. *Ἀθηναίῃ τῇ Ἰλιάδι.* Vgl. Hom. Il. VI 270 ff. Auch andere Schriftsteller bezeugen, dasz der Cult dieser Göttin hier lange fortbestanden habe. Vgl. Arr. I 11. Diodor. XVII 18. Xen. Hell. I 1, 4. Liv. XXXVII 9.

2. *ἥρωσι*, den vor Troja gefallenen Helden.

3. *φόβος* wie c. 10, V. Einen derartigen Schrecken, der ohne sichtbare Veranlassung plötzlich in eine Menge Menschen fährt, schrieben die Griechen dem Pan zu (= *τὰ Πανεῖα*). Ganz wie hier IV 203. VI 105.

ἐπορεύετο, ὁ Ξέρξης.

4. *ἀπέργων.* *ἀπέργειν* begrenzen, wird sonst meist von Gebirgen, Flüssen, Meeren gebraucht (I 72. 174. II 99 öft.), hier ist der lange Heereszug gewissermaszen als Grenzlinie nach rechts oder links gedacht. Wie hier c. 109. 112.

Ῥοίτειον, auch *τὸ Ῥοίτειον ἄκρον*, ein felsiger Küstenpunct am Hellespont; in der Nähe war ein Denkmal des Aias (*Αἰάντιον*). — Ophryneion und Dardanon (V 117), waren aeolische Niederlassungen. Dardanon lag ungefähr $1^1/_2$ Meilen von Abydos entfernt.

6. *Γέργιθας Τευκρούς.* *Γέργις* oder *Γέργιθος* oder *Γέργιθα* war der Name einer Stadt in Troas, östlich vom Ida. Gegründet sollte sie sein von Resten der Troer, die nach der Zerstörung Troja's in diese Gegenden übersiedelten. Vgl. V 122 *εἷλε δὲ Γέργιθας τοὺς ὑπολειφθέντας τῶν ἀρχαίων Τευκρῶν.* Uebrigens werden noch andere Ortschaften dieses Namens in Kleinasien erwähnt (Strabo p. 589. Athen. p. 524 A).

Heerschau in Abydos. Wettkampf der Schiffe. Xerxes Unterredung mit Artabanos. Seine Ansprache an das Heer. Uebergang über den Hellespont (c. 44—57).

44. 8. *καὶ γάρ.* Nach dem Vorgange Homers schickt auch Herodot oft den begründenden Satz mit *γάρ* dem zu begründenden voran, welchem er doch logisch untergeordnet ist. Ganz besonders häufig findet sich dieses vorgeschobene *γάρ* unmittelbar nach der Anrede. Vgl. auch Hom. Il. I 122. Wie hier c. 142. 148. 158.

ἐπὶ κολωνοῦ. Auf dem heutigen, weit in den Hellespont vorspringenden Vorgebirge Nagara, in dessen Nähe das alte Abydos zu suchen ist, erhebt sich der spitz zulaufende Hügel Maltepe, von dem aus man einen weiten Ueberblick über den Hellespont und die asiatische Küste hat. Dies ist wahrscheinlich der Hügel, auf welchem die Abydener den erhöhten Sitz für Xerxes bauten. Derselbe heiszt *προεξέδρη*, weil er der Erweiterung der Aussicht halber auf einem noch über den Hügel vorspringenden Anbau angebracht war. IV 88 ist in einem ähnlichen Sinne *προεδρίη* gebraucht.

ἐπίτηδες de industria auch c. 168.

9. *αὐτοῦ ταύτῃ.* S. z. c. 10, VIII.

λίθου λευκοῦ ist genet. materiae.

δηνοὶ ἐντειλαμένου πρότερον βασιλέος), ἐνθαῦτα ὡς ἵζετο,
κατορέων ἐπὶ τῆς ἠϊόνος ἐθηέετο καὶ τὸν πεζὸν καὶ τὰς νέας.
θηεύμενος δὲ ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι.
ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκεον Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ
45 *ἁμίλλῃ καὶ τῇ στρατιῇ. Ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσ-*
ποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς
καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα Ξέρξης
46 *ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε. Μαθὼν δέ μιν*
Ἀρτάβανος ὁ πάτρως, ὅς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευ-
θέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα,
οὗτος ὡνὴρ φρασθεὶς Ξέρξην δακρύσαντα εἴρετο τάδε· Ὦ
βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ
ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις. Ὁ δὲ
εἶπε· Ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι, ὡς βραχὺς
εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων
οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. Ὁ δὲ ἀμείβετο λέγων·
Ἕτερα τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα. ἐν γὰρ
οὕτω βραχέϊ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε,
οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις
καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. αἵ τε γὰρ
συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ

3. *ἱμέρθη.* *ἱμείρεσθαι* gebraucht Her. in der Bedeutung von *ἐπιθυμεῖν* auch III 123. VI 120.

46. 11. *οὗτος ὡνὴρ φρασθεὶς Ξέρξην.* Epanalepsis der Anfangsworte des Capitels *μαθὼν δέ μιν* (scil. *δακρύσαντα*) *Ἀρτάβανος ὁ πάτρως.*

14. *ἐσῆλθε γάρ με.* *γάρ* bezieht sich auf den vorschwebenden Gedanken: ich habe allerdings geweint, denn. — *ἐσελθεῖν* wie hier construiert III 42 *τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα.* Anders III 14 *αὐτῷ δὲ Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα.*

λογισάμενον. S. z. c. 28.

15. *εἴ γε* siquidem, auch c. 10, II. Dafür *εἴ περ* II 44, *εἰ καί* V 78. Aus dieser Bedeutung von *εἰ* erklärt es sich, dasz im folgenden *οὐδείς* (nicht *μηδείς*) gesetzt ist. S. z. c. 9 (*εἰ — οὐ*).

17. *τούτου* hängt von dem Comparativ ab.

παρὰ τὴν ζόην. Aus der localen Bedeutung von *παρά* c. accus. „neben, längs“ (c. 49) entwickelt sich die temporale (= wärend). Vgl. I 32 *παρὰ τὰ ἑβδομήκοντα ἔτεα.*

18. *οὕτω.* Das zweite *οὕτω* ist mit *εὐδαίμων* zu verbinden.

19. *παραστήσεται.* *παρίσταταί μοι*, es kommt mir in den Sinn. Aehnlich ist c. 187 *οὐδέν μοι θῶμα παρίσταται* gesagt, anders I 23.

πολλάκις καὶ οὐκὶ ἅπαξ. S. z. c. 40. Anf.

21. *συμφορή* meist wie hier von unglücklichen Ereignissen. Vgl. c. 190. 88. 117.

προσπίπτουσαι. *προσπίπτειν*, auf etwas stoszen (vgl. lat. incidere). Hier absolut, dagegen III 40 in demselben Sinne mit Dativ verbunden: *αἱ εὐτυχίαι τῇσι πάθησι προσπίπτουσι.*

καὶ βραχὺν ἐόντα. *καί* hier = *καίπερ.*

βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. οὕτω ὁ
μὲν θάνατος μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγὴ αἱρετωτάτη
τῷ ἀνθρώπῳ γέγονε, ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθο-
νερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών. Ξέρξης δὲ ἀμείβετο λέγων· 47
Ἀρτάβανε, βιοτῆς μέν νυν ἀνθρωπηΐης πέρι, ἐούσης τοιαύτης,
οἵην περ σὺ διαιρέεαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν μεμνώ-
μεθα χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί· φράσον δέ μοι τόδε·
εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν
τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλ-
λάδα, ἢ μετέστης ἄν; φέρε μοι τοῦτο ἀτρεκέως εἰπέ. Ὁ δὲ
ἀμείβετο λέγων· Ὦ βασιλεῦ, ὄψις μὲν ἡ ἐπιφανεῖσα τοῦ ὀνεί-
ρου, ὡς βουλόμεθα ἀμφότεροι, τελευτήσειε· ἐγὼ δ' ἔτι καὶ
ἐς τόδε δείματός εἰμι ὑπόπλεος οὐδ' ἐντὸς ἐμεωυτοῦ, ἄλλα τε
πολλὰ ἐπιλεγόμενος, καὶ δὴ καὶ ὁρέων τοι δύο τὰ μέγιστα πάν-
των ἐόντα πολεμιώτατα. Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοι- 48

1. οὕτω ὁ μὲν θάνατος — καταφυγὴ αἱρετωτάτη τῷ ἀνθρώπῳ γέγονε. Zum Gedanken vergleiche die ähnlichen Aussprüche vieler griechischer Dichter, z. B. Theogn. 425:

Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισι ἄριστον,
Μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου.

Bakchylid. fr. 2:

θνατοῖσι μὴ φῦναι φέριστον,
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον.

Vgl. Soph. Oed. Col. 1225 u. Eurip. fr. 452 (S. z. V 4) und Her. selbst I 31: διέδεξε ἐν τούτοισι ὁ θεὸς, ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. — In ähnlichem Sinne wie hier der Tod μοχθηρῆς ἐούσης τῆς ζόης καταφυγή genannt wird, heiszt es bei Aesch. fr. 343:

ὡς οὐ δικαίως θάνατον ἔχθουσι βροτοί
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν.

3. γλυκύν ist prädicativ zu fassen.

φθονερὸς. S. z. c. 10, V (φθονήσας).

4. ἐν αὐτῷ. S. z. c. 8, III.

47. 6. διαιρέεαι. In gleicher Bedeutung ist c. 16, III das Activ gebraucht. Wie hier c. 50.

μεμνώμεθα von dem sonst ungebräuchlichen Indicativ μέμνομαι. Vgl. μέμνεο V 105 und Hom. Odyss. XVI 168.

7. ἔχοντες — ἐν χερσί. Dieselbe Wendung c. 5. Vgl. c. 16, II.

8. ἐναργής, erkennbar, leibhaftig. Wie hier V 55 ἰδὼν ὄψιν ἐνυπνίου ἐνεργεστάτην.

9. οὐκ ἐῶν dissuadens. Häufig so bei Her. Vgl. IV 203. VI 109. οὐκ ἐᾶν vetare c. 104. S. z. c. 16, II.

10. μετέστης = μεταγνοίης (c. 15). Synonym ist μεταβουλεύεσθαι (c. 12). Vgl. I 118 τῆς τύχης εὖ μετεστεώσης.

φέρε cum imperativo. S. z. c. 10, VIII.

13. ἐς τόδε temporal zu fassen. S. z. c. 16, II.

ἐντὸς ἐμεωυτοῦ. Dieselbe Wendung mit γίνεσθαι I 119 ἰδὼν δὲ οὔτε ἐξεπλάγη, ἐντός τε ἑωυτοῦ γίνεται.

14. ἐπιλεγόμενος. S. z. c. 10, VIII.

καὶ δὴ καί findet sich häufig wie hier nach ἄλλος einen Umstand im Gegensatz zu anderen stark hervorhebend. Vgl. c. 153.

σίδε· Δαιμόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις μοι εἶναι δύο πολε-
μιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ τὸ πλῆθός ἐστι, καὶ
τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλαπλήσιον ἔσεσθαι τοῦ
ἡμετέρου, ἢ τὸ ναυτικὸν τὸ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων,
ἢ καὶ συναμφότερα ταῦτα; εἰ γάρ τοι ταύτῃ ἐνδεέστερα φαίνε-
ται εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν τα-
49 χίστην ἄγερσιν ποιέοιτο. Ὁ δ' ἀμείβετο λέγων· Ὦ βασιλεῦ,
οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχοι, μέμφοιτ' ἂν οὔτε
I τῶν νεῶν τὸ πλῆθος. ἤν τε πλεῦνας συλλέξῃς, τὰ δύο τοι, τὰ
λέγω, πολλῷ ἔτι πολεμιώτερα γίνεται. τὰ δὲ δύο ταῦτά ἐστι
γῆ τε καὶ θάλασσα. οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦ-
τος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις ἐγειρομένου χειμῶνος
δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι
τὰς νέας. καίτοι οὐκὶ ἕνα αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ
παρὰ πᾶσαν τὴν ἤπειρον, παρ' ἣν δὴ κομίζεαι. οὐκ ὦν δὴ
ἐόντων τοι λιμένων ὑποδεξίων μάθε, ὅτι αἱ συμφοραὶ τῶν ἀν-
ὅσον Εὐρωπήϊοι ἐόντες σύνοικοι ἦσαν Μακεδόσι, μεταβάντες
δὲ ἐς τὴν Ἀσίην ἅμα τῇ χώρῃ καὶ τὸ οὔνομα μετέβαλον ἐς
Φρύγας. Ἀρμένιοι δὲ κατάπερ Φρύγες ἐσεσάχατο, ἐόντες Φρυ-
γῶν ἄποικοι. τούτων συναμφοτέρων ἦρχε Ἀρτόχμης, Δαρείου
ἔχων θυγατέρα. Λυδοὶ δὲ ἀγχοτάτω τῶν Ἑλληνικῶν εἶχον 74
ὅπλα. οἱ δὲ Λυδοὶ Μηΐονες ἐκαλέοντο τὸ πάλαι, ἐπὶ δὲ Λυδοῦ
τοῦ Ἄτυος ἔσχον τὴν ἐπωνυμίην, μεταβαλόντες τὸ οὔνομα.

1. *πέδιλα — ἐς μέσην κνήμην ἀνατείνοντα.* Vgl. c. 67 *πέδιλα ἐς γόνυ ἀνατείνοντα εἶχον.*

2. *Λίγυες*, verschieden von den c. 165 erwähnten Ligyern. Die hier erwähnten wohnten in Kolchis. Neuere wollen sie in dem Bergvolk der Lesghier (im Kaukasus) wieder erkennen.

Ματιηνοί, ein Nomadenvolk am rechten Ufer des Halys, von wo sie sich weit nach Osten hin ausbreiteten. S. z. I 72.

3. *Σύριοι*, verschieden von den c. 63 erwähnten. Vgl. V 49 *Φρυγῶν δὲ ἔχονται Καππαδόκαι, τοὺς ἡμεῖς Συρίους καλέομεν.* Der Name Syrien umfaszte bei den Alten in weiterer Bedeutung alle Länderstrecken zwischen Babylonien, Cilicien, Aegypten und dem schwarzen Meere.

τὴν αὐτήν erg. *σκευήν*. Vgl. c. 62. Ueber den Dativ (*Παφλαγόσι*) nach *ὁ αὐτός* s. z. c. 3.

7. *Γωβρύης*, ein Bruder des Arsames. S. c. 69.

73. *ἀγχοτάτω τῆς Παφλαγονικῆς.* S. z. c. 64.

8. *παραλλάσσοντες*=*διαλλάσσοντες* (c. 70).

9. *Φρύγες — ἐκαλέοντο Βρίγες.* Ueber die Einwanderungen von Kleinasien nach Thrakien und umgekehrt, so wie über die nicht wahrscheinliche Angabe Herodots, dasz die (asiatischen) Phryger ursprünglich in Thrakien und Makedonien gewohnt, s. z. c. 20.

12. *Ἀρμένιοι.* Vgl. I 194. III 93. V 49.

Φρυγῶν ἄποικοι. Dasz Armenier, Phryger, Kappadoker (Syrer) verwandte Stämme sind und zu derselben (aramaeischen) Völkerfamilie gehören, ist erwiesen; ob aber die Armenier Abkömmlinge der Phryger, oder (wie neuere Gelehrte meinen) die Phryger Abkömmlinge der Armenier sind, ist schwer zu sagen.

74. 15. *Μηΐονες.* Schon Hom. Il. II 864 nennt die alten Bewohner Lydiens *Μῄονες*. Vgl. Strab. X 4.5. Später bezeichnete der Name *Μηονίη* ion. statt *Μαιονία* nur einen kleinen Teil Lydiens an der mysischen und phrygischen Grenze.

ἐπὶ δὲ Λυδοῦ — ἐπωνυμίην. Vgl. I 7 *οἱ δὲ βασιλεύσαντες ταύτης τῆς χώρης ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος, ἀπ᾽ ὅτευ ὁ δῆμος Λυ-*

Μυσοὶ δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι εἶχον κράνεα ἐπιχώρια, ἀσπί-
δας δὲ σμικράς, ἀκοντίοισι δὲ ἐχρέοντο ἐπικαύτοισι. οὗτοι δέ
εἰσι Λυδῶν ἄποικοι, ἀπ' Οὐλύμπου δὲ οὔρεος καλέονται Οὐ-
λυμπιηνοί. Λυδῶν δὲ καὶ Μυσῶν ἦρχε Ἀρταφέρνης ὁ Ἀρτα-
75 φέρνεος, ὃς ἐς Μαραθῶνα ἐσέβαλε ἅμα Δάτι. Θρήϊκες δὲ ἐπὶ
μὲν τῇσι κεφαλῇσι ἀλωπεκέας ἔχοντες ἐστρατεύοντο, περὶ δὲ
τὸ σῶμα κιθῶνας, ἐπὶ δὲ ζειρὰς περιβεβλημένοι ποικίλας, περὶ
δὲ τοὺς πόδας τε καὶ τὰς κνήμας πέδιλα νεβρῶν, πρὸς δὲ
ἀκόντιά τε καὶ πέλτας καὶ ἐγχειρίδια σμικρά. οὗτοι δὲ διαβάν-
τες μὲν ἐς τὴν Ἀσίην ἐκλήθησαν Βιθυνοί, τὸ δὲ πρότερον
ἐκαλέοντο, ὡς αὐτοὶ λέγουσι, Στρυμόνιοι, οἰκέοντες ἐπὶ Στρυ-
μόνι· ἐξαναστῆναι δέ φασι ἐξ ἠθέων ὑπὸ Τευκρῶν τε καὶ
76 Μυσῶν. Θρηΐκων δὲ τῶν ἐν τῇ Ἀσίῃ ἦρχε Βασσάκης ὁ Ἀρτα-
βάνου...... ἀσπίδας δὲ ὠμοβοΐνας εἶχον σμικράς, καὶ προβό-
λους δύο λυκιοεργέας ἕκαστος εἶχε, ἐπὶ δὲ τῇσι κεφαλῇσι κρά-
νεα χάλκεα· πρὸς δὲ τοῖσι κράνεσι ὦτά τε καὶ κέρεα προσῆν

διος ἐκλήθη ὁ πᾶς οὗτος. — Ueber ἐπὶ bei ἔσχον τὴν ἐπωνυμίην s. z. c. 40.

3. *Λυδῶν ἄποικοι.* Vgl. I 171, wo beide Völker als *κασίγνητοι* bezeichnet werden.

ἀπ' Οὐλύμπου. Beachte *ἀπό* bei *καλέονται* (kurz vorher *ἐπὶ* bei *ἔσχον τὴν ἐπωνυμίην*). Der mysische Olymp wird auch I 36 erwähnt.

4. *Ἀρταφέρνης* vgl. V 25. Er führte mit Datis den ersten Zug gegen Griechenland (VI 94).

75. 5. *Θρήϊκες, οἱ ἐν τῇ Ἀσίῃ,* wie das folgende lehrt.

6. *ἀλωπεκέας* erg. *δοράς*, wie c. 69. Zur Sache vgl. Xen. Anab. VII 4, 4 *οὗ ἕνεκα οἱ Θρᾷκες τὰς ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσὶ καὶ χιτῶνας οὐ μόνον περὶ τοῖς στέρνοις ἀλλὰ καὶ περὶ τοῖς μηροῖς καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν, ἀλλ' οὐ χλαμύδας.*

7. *κιθών*, ein enganliegender Leibrock, im Gegensatz zur *ζειρά* (s. z. c. 69).

8. *πέδιλα νεβρῶν*, Schuhe aus Hirschleder. Vgl. c. 26 (*ἀσκός*).

9. *διαβάντες ἐς τὴν Ἀσίην.* Zur Sache vgl. z. c. 20.

12. *ἐξαναστῆναι — ἐξ ἠθέων.* Vgl. V 15 *οἱ Παίονες ἐξ ἠθέων ἐξαναστάντες ἤγοντο ἐς τὴν Ἀσίην.* — Ueber die Bedeutungen von *τὰ ἤθεα* s. z. c. 10, VIII.

ὑπὸ Τευκρῶν τε καὶ Μυσῶν. S. z. c. 20.

76. 14. Vor *ἀσπίδας δέ* musz etwas über ein anderes Volk bemerkt gewesen sein. Wahrscheinlich ist etwas über die Chalyber (*Χάλυβες*) ausgefallen, welche Her. I 28 in Gemeinschaft mit den Lydern, Phrygern, Mysern, Paphlagonern, Mariandynen, Thrakern, alles Völkerschaften, welche im Vorhergehenden erwähnt sind, mit aufgezählt. Auf die Chalyber paszt auch die von der Bewaffnung des fraglichen Volks gegebene Beschreibung, denn ihr Land war reich an Eisen; auch hatten sie ein Orakel des Ares, welches ebenfalls in unserem Capitel erwähnt wird.

πρόβολος, Jagdspeer, dafür c. 148 *προβόλαιον*.

15. *λυκιοεργής*, von lykischer Arbeit. Vgl. Athen. p. 486.

βοὸς χάλκεα, ἐπῆσαν δὲ καὶ λόφοι· τὰς δὲ κνήμας ῥάκεσι
φοινικέοισι κατειλίχατο. ἐν τούτοισι τοῖσι ἀνδράσι Ἄρεός ἐστι
χρηστήριον. Καβηλέες δὲ οἱ Μηΐονες, Λασόνιοι δὲ καλεόμενοι, 77
τὴν αὐτὴν Κίλιξι εἶχον σκευήν, τὴν ἐγώ, ἐπεὰν κατὰ τὴν Κι-
λίκων τάξιν διεξιὼν γένωμαι, τότε σημανέω. Μιλύαι δὲ αἰχμάς
τε βραχέας εἶχον καὶ εἵματα ἐνεπεπορπέατο· εἶχον δὲ αὐτῶν
τόξα μετεξέτεροι Λύκια, περὶ δὲ τῇσι κεφαλῇσι ἐκ διφθερέων
πεποιημένας κυνέας. τούτων πάντων ἦρχε Βάδρης ὁ Ὑστά-
νεος. Μόσχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κυνέας ξυλίνας εἶ- 78
χον, ἀσπίδας δὲ καὶ αἰχμὰς σμικράς, λόγχαι δὲ ἐπῆσαν μεγά-
λαι. Τιβαρηνοὶ δὲ καὶ Μάκρωνες καὶ Μοσύνοικοι κατάπερ
Μόσχοι ἐσκευασμένοι ἐστρατεύοντο. τούτους δὲ συνέτασσον
ἄρχοντες οἵδε, Μόσχους μὲν καὶ Τιβαρηνοὺς Ἀριόμαρδος ὁ
Δαρείου τε παῖς καὶ Πάρμυος τῆς Σμέρδιος τοῦ Κύρου, Μά-
κρωνας δὲ καὶ Μοσυνοίκους Ἀρταΰκτης ὁ Χοράσμιος, ὃς Ση-
στὸν τὴν ἐν Ἑλλησπόντῳ ἐπετρόπευε. Μᾶρες δὲ ἐπὶ μὲν τῇσι 79
κεφαλῇσι κράνεα ἐπιχώρια πλεκτὰ εἶχον, ἀσπίδας δὲ δερ-
ματίνας σμικρὰς καὶ ἀκόντια. Κόλχοι δὲ περὶ μὲν τῇσι
κεφαλῇσι κράνεα ξύλινα, ἀσπίδας δὲ ὠμοβοΐνας σμικρὰς αἰ-
χμάς τε βραχέας, πρὸς δὲ καὶ μαχαίρας εἶχον. Μαρῶν δὲ καὶ
Κόλχων ἦρχε Φαρανδάτης ὁ Τεάσπιος. Ἀλαρόδιοι δὲ καὶ Σά-

Auch c. 77 werden *τόξα Λύκια* erwähnt.

2. *κατειλίχατο.* Das Verbum auch c. 181. Vgl. die Formen *ἐτετάχατο* c. 87, *ἐστάλατο* c. 89, *ἐσκευάδατο* c. 66, *ἐσεσάχατο* c. 73.

77. 3. *Καβηλέες.* Kabalier und Lasonier werden auch III 90 zusammen erwähnt, doch als zwei getrennte Völker, nicht wie hier als ein und dasselbe. Sie scheinen die südöstlichen Nachbaren der Lydier gewesen zu sein, wie sie denn an unserer Stelle geradezu als Lyder (= *Μηΐονες*, s. c. 74) bezeichnet werden.

4. *τὴν αὐτὴν Κίλιξι.* Ueber *ὁ αὐτός* mit Dat. s. z. c. 72.

κατὰ τὴν Κιλίκων τάξιν δ. γ. S. c. 91.

5. *Μιλύαι.* Milyas hiesz in alten Zeiten ganz Lykien (I 172), später führte nur das Bergland zwischen Lykien, Pamphylien und Phrygien diesen Namen.

7. *τόξα Λύκια.* S. c. 92. *μετεξέτεροι* ion. = *ἔνιοι*. Vgl. c. 84.

78. 9. *Μόσχοι.* Die Moscher wohnten im südlichen Kolchis um die Quellen des Phasis (III 94. IV 77); Tibarener, Makrer, Mosynoiken, Marer waren Küstenbewohner des Pontos zwischen dem Phasis und Thermodon (III 94).

14. *Πάρμυος.* Ueber Parmys, eine der 6 Frauen des Darius, s. z. III 88. Vgl. c. 69.

15. *Ἀρταΰκτης*, der Sohn des Chorasmis. Vgl. IX 116.

16. *ἐπετρόπευε.* S. z. c. 62.

79. 17. *κράνεα πλεκτά.* S. z. c. 63 (*κράνεα πεπλεγμένα*).

21. *Ἀλαρόδιοι.* Die Alarodier werden auch III 94 zusammen mit den Saspeiren erwähnt. Die Saspeiren wohnten nach I 104 zwischen Medien und Kolchis, also in dem Teile Georgiens, in welchem heute

σπειρες κατάπερ Κόλχοι ὡπλισμένοι ἐστρατεύοντο. τούτων δὲ
80 Μασίστιος ὁ Σιρομίτρεω ἦρχε. Τὰ δὲ νησιωτικὰ ἔθνεα τὰ ἐκ
τῆς Ἐρυθρῆς θαλάσσης ἑπόμενα, νήσων δὲ, ἐν τῇσι τοὺς ἀνα-
σπάστους καλεομένους κατοικίζει βασιλεὺς ἀγχοτάτω τῶν Μη-
δικῶν εἶχον ἐσθῆτά τε καὶ ὅπλα. τούτων δὲ τῶν νησιωτέων
ἦρχε Μαρδόντης ὁ Βαγαίου, ὃς ἐν Μυκάλῃ στρατηγέων δευ-
τέρῳ ἔτεϊ τούτων ἐτελεύτησε ἐν τῇ μάχῃ.
81 Ταῦτα ἦν τὰ κατ' ἤπειρον στρατευόμενά τε ἔθνεα καὶ
τεταγμένα ἐς τὸ πεζόν. τούτου ὦν τοῦ στρατοῦ ἦρχον οὗτοι,
οἵπερ εἰρέαται, καὶ οἱ διατάξαντες καὶ ἐξαριθμήσαντες οὗτοι
ἦσαν καὶ χιλιάρχας τε καὶ μυριάρχας ἀποδέξαντες, ἑκατοντάρ-
χας δὲ καὶ δεκάρχας οἱ μυριάρχαι. τελέων δὲ καὶ ἐθνέων ἦσαν
82 ἄλλοι σημάντορες. ἦσαν μὲν δὴ οὗτοι, οἵπερ εἰρέαται, ἄρχον-
τες, ἐστρατήγεον δὲ τούτων τε καὶ τοῦ σύμπαντος στρατοῦ
τοῦ πεζοῦ Μαρδόνιός τε ὁ Γωβρύεω καὶ Τριτανταίχμης ὁ
Ἀρταβάνου τοῦ γνώμην θεμένου μὴ στρατεύεσθαι ἐπὶ τὴν

Tiflis liegt. Die Wohnsitze der Alarodier lassen sich nicht genau bestimmen.

80. 2. *ἐκ τῆς Ἐρυθρῆς θαλάσσης.* Ἐρυθρὴ θάλασσα ist hier gleichbedeutend mit ἡ νοτίη θάλασσα = Südmeer (indischer Ocean, oder auch als ein Teil desselben das persische Meer vgl. c. 89), im Gegensatz zu βορηΐη θάλ. (mittelländisches Meer). Dagegen bezeichnet Ἐρυθρή θάλ. unser heutiges rotes Meer II 8.

3. *νήσων* hängt von ἔθνεα ab, indem für νησιωτικά variiert der genet. attrib. gesetzt ist.

ἀνασπάστους. ἀνάσπαστοι heiszen sonst Völker, die (aus ihren früheren Wohnsitzen) fortgeschleppt und in andere Gegenden verpflanzt wurden (V 12. VI 9. 32). An unserer Stelle ist wol an vornehme Perser zu denken, die als dem Staate gefährlich in die entfernteste Provinz verbannt wurden.

4. *ἀγχοτάτω* = ὁμοιότατα. S. z. c. 64.

6. *δευτέρῳ ἔτεϊ τούτων.* τούτων, nach diesen Ereignissen (i. J. 479). Genau wie hier VI 46. — Zur Sache vgl. VIII 130. II 102.

81. 9. *τεταγμένα ἐς τὸ πεζόν.* S. z. c. 21.

11. *ἀποδέξαντες.* S. z. c. 2 (ἀποδέξας βασιλέα). Die decadische Einteilung war nicht allein bei den Persern, sondern auch bei anderen Völkern des Altertums die übliche.

12. *τελέων.* τέλεα sind grössere Heeresabtheilungen jeder Truppenart (vgl. c. 87); eine gewisse Anzahl von 10,000 M. starken Corps mochte beim Fuszvolk ein τέλος bilden. In ἐθνέων ist angedeutet, dasz bei der Vereinigung mehrerer Abteilungen von 10,000 M. zu einem τέλος die Stammverwandtschaft bestimmend war. Jedes τέλος stand unter einem σημάντωρ. — Ganz besonders häufig wird τέλεα von Reitergeschwadern gebraucht (c. 87. 211).

82. 15. *Γωβρύεω*, eines der sieben. S. III 70.

16 *Ἀρταβάνου*, eines Bruders des Darius. S. z. c. 10.

γνώμην θεμένου. Vgl. III 80 τίθεμαι γνώμην. Die ursprünglichere Verbindung ist τίθεμαι ψῆφον (III 73). Zur Sache vgl. c. 10.

Ἑλλάδα καὶ Σμερδομένης ὁ Ὀτάνεω (Δαρείου ἀμφότεροι οὗτοι
ἀδελφεῶν παῖδες, Ξέρξῃ δὲ ἐγίνοντο ἀνεψιοί) καὶ Μασίστης
ὁ Δαρείου τε καὶ Ἀτόσσης παῖς καὶ Γέργις ὁ Ἀρίζου καὶ Με-
γάβυζος ὁ Ζωπύρου. Οὗτοι ἦσαν στρατηγοὶ τοῦ σύμπαντος 83
πεζοῦ χωρὶς τῶν μυρίων. τῶν δὲ μυρίων τούτων Περσέων
τῶν ἀπολελεγμένων ἐστρατήγεε μὲν Ὑδάρνης ὁ Ὑδάρνεος, ἐκα-
λέοντο δὲ ἀθάνατοι οἱ Πέρσαι οὗτοι ἐπὶ τοῦδε· εἴ τις αὐτῶν
ἐξέλιπε τὸν ἀριθμὸν ἢ θανάτῳ βιηθεὶς ἢ νούσῳ, ἄλλος ἀνὴρ
ἀραίρητο, καὶ ἐγίνοντο οὐδαμὰ οὔτε πλεῦνες μυρίων οὔτε ἐλάσ-
σονες. κόσμον δὲ πλεῖστον παρείχοντο διὰ πάντων Πέρσαι,
καὶ αὐτοὶ ἄριστοι ἦσαν. σκευὴν μὲν τοιαύτην εἶχον, ἥπερ εἴ-
ρηται, χωρὶς δὲ χρυσόν τε πολλὸν καὶ ἄφθονον ἔχοντες ἐνέ-
πρεπον. ἁρμαμάξας τε ἅμα ἤγοντο, ἐν δὲ παλλακὰς καὶ θερα-
πηΐην πολλήν τε καὶ εὖ ἐσκευασμένην. σῖτα δέ σφι, χωρὶς
τῶν ἄλλων στρατιωτέων, κάμηλοί τε καὶ ὑποζύγια ἦγον.

Ἱππεύει δὲ ταῦτα τὰ ἔθνεα· πλὴν οὐ πάντα παρείχετο ἵπ- 84
πον, ἀλλὰ τοσάδε μοῦνα. Πέρσαι μὲν τὴν αὐτὴν ἐσκευασμένοι
καὶ ὁ πεζὸς αὐτῶν· πλὴν ἐπὶ τῇσι κεφαλῇσι εἶχον μετεξέτεροι
αὐτῶν καὶ χάλκεα καὶ σιδήρεα ἐξεληλαμένα ποιήματα. Εἰσὶ 85

1. *καὶ Σμερδομένης ὁ Ὀτάνεω.* In den Handschriften stehen diese Worte vor *Δαρείου — ἀνεψιοί*, bei welcher Stellung wir gezwungen wären, Otanes als einen Bruder des Darius anzunehmen, was uns nirgends überliefert ist. — Smerdomenes auch erwähnt c. 121.

2. *ἀδελφεῶν παῖδες*, Geschwisterkinder. Mardonios war ein Schwestersohn des Darius. S. z. c. 5. — Zur Bedeutung von *ἀνεψιός* vgl. c. 5.

Μασίστης. Vgl. IX 107. 113.

3. *Μεγάβυζος*, ein Sohn jenes Zopyros, der dem Darius Babylon eroberte.

83. 6. *Ὑδάρνης.* Vgl. c. 135. 211.

7. *ἐπὶ τοῦδε.* Ueber *ἐπὶ* bei den Verben des Nennens s. z. c. 40.

9. *ἀραίρητο* att. *ᾕρητο* „war (schon im voraus) erwählt". Zur Form vgl. c. 118. 172. 173.

οὐδαμά eig. Neutr. plur. von *οὐδαμός* in adverbialer Bedeutung: in keinerlei Weise, d. i. niemals. Wie hier V 35. VI 86. Ueber den Plur. s. z. c. 53.

10. *διὰ πάντων. διά* = prae. Vgl. VI 63 *Ἀρίστων, ἀνὴρ εὐδοκιμέων διὰ πάντων τῶν βασιλέων τῶν ἐν τῇ Σπάρτῃ γενομένων.*

11. *αὐτοί* ist im Gegensatz zu *κόσμον παρείχοντο πλεῖστον* gesetzt.

12. *χρυσὸν π. — ἔχοντες ἐνέπρεπον.* Dieselbe Ausdrucksweise wie c. 67.

13. *ἁρμαμάξας.* S. z. c. 41.

ἐν δέ adverbial = darin. S. z. c. 12.

Reiterei (c. 84—88).

84. 16. *ταῦτα. οὗτος* bezieht sich hier (gegen den sonstigen Gebrauch) auf das folgende; wir erwarteten *τάδε.* S. z. c. 5.

πλήν, jedoch wie c. 32.

17. *τὴν αὐτήν* erg. *σκευήν*, wie hier c. 62.

18. *καί*, wie. S. z. c. 50.

μετεξέτεροι. S. z. c. 77.

19. *ἐξεληλαμένα. ἐξελαύνειν*, von Metallen, die mit dem Hammer getrieben werden, auch I 50. 68. Daher c. 69 *εἰκὼν σφυρήλατος.*

ποιήματα, die als Helme dien-

δέ τινες νομάδες ἄνθρωποι Σαγάρτιοι καλεόμενοι, ἔθνος μὲν Περσικὸν καὶ φωνῇ, σκευὴν δὲ μεταξὺ ἔχουσι πεποιημένην τῆς τε Περσικῆς καὶ τῆς Πακτυϊκῆς, οἳ παρείχοντο μὲν ἵππον ὀκτακισχιλίην, ὅπλα δὲ οὐ νομίζουσι ἔχειν οὔτε χάλκεα οὔτε σιδήρεα ἔξω ἐγχειριδίων, χρέονται δὲ σειρῇσι πεπλεγμένῃσι ἐξ ἱμάντων, ταύτῃσι πίσυνοι ἔρχονται ἐς πόλεμον· ἡ δὲ μάχη τούτων τῶν ἀνδρῶν ἥδε· ἐπεὰν συμμίσγωσι τοῖσι πολεμίοισι, βάλλουσι τὰς σειρὰς ἐπ᾽ ἄκρῳ βρόχους ἐχούσας, ὅτευ δ᾽ ἂν τύχῃ, ἤν τε ἵππου ἤν τε ἀνθρώπου, ἐπ᾽ ἑωυτὸν ἕλκει, οἱ δὲ ἐν ἕρκεσι ἐμπαλασσόμενοι διαφθείρονται. τούτων μὲν αὕτη ἡ μάχη,
86 καὶ ἐπετετάχατο ἐς τοὺς Πέρσας. Μῆδοι δὲ τήνπερ ἐν τῷ πεζῷ εἶχον σκευήν, καὶ Κίσσιοι ὡσαύτως. Ἰνδοὶ δὲ σκευῇ μὲν ἐσεσάχατο τῇ αὐτῇ καὶ ἐν τῷ πεζῷ, ἤλαυνον δὲ κέλητας καὶ ἅρματα, ὑπὸ δὲ τοῖσι ἅρμασι ὑπῆσαν ἵπποι καὶ ὄνοι ἄγριοι. Βάκτριοι δὲ ἐσκευάδατο ὡσαύτως καὶ ἐν τῷ πεζῷ, καὶ Κάσπιοι ὁμοίως. Λίβυες δὲ καὶ αὐτοὶ κατάπερ ἐν τῷ πεζῷ· ἤλαυνον δὲ καὶ οὗτοι πάντες ἅρματα. ὣς δ᾽ αὕτως Κάσπιοι καὶ Παρι-

ten, anstatt der vom Fuszvolk getragenen *τιῆραι* (c. 61).

85. 1. *Σαγάρτιοι*, ein Nomadenstamm im Innern des iranischen Hochlandes. Vgl. III 94. I 125.

2. *καὶ φωνῇ*. Diese Worte scheinen ein ungeschicktes Einschiebsel von späterer Hand zu sein. Will man die Worte halten, so musz man nach *φωνῇ* aus dem vorhergehenden *Περσικόν* ergänzen.

μεταξὺ — πεποιημένην. *μεταξύ* (cum genet.) ist hier in ähnlicher Weise adjectivisch zu fassen wie *ἀγχοτάτω* (cum gen.) c. 64. 73. 80. 89 (*κυνέας εἶχον ἀγχωτάτω πεποιημένας*).

3. *Περσικῆς* beschrieben c. 61.

Πακτυϊκῆς. Ueber das Land der Paktyer s. z. c. 67.

5. *σειρῇσι πεπλεγμένῃσι*, eine Art Lasso. Zur Sache vgl. Pausan. I 21 § 8.

6. *μάχη* Kampfesart, auch c. 9, II.

8. *τύχῃ* erg. *ὁ βαλών*. Beachte den Uebergang vom Plural zu dem anschaulicheren Singular, wie er sich häufig bei Schilderungen findet. Vgl. IV 22 *καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε· λοχᾷ ἐπὶ δένδρεον ἀναβὰς — ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου*, wo zu *ἀπίδῃ* als Subject zu ergänzen ist *ὁ θηρῶν*.

9. *ἤν τε — ἤν τε*. Vgl. *ἐάν τε — ἐάν τε* bei Plat. Protag. 323, 6 öfter = sive — sive (*εἴ τε — εἴ τε*).

ἕρκεα Schlingen.

10. *ἐμπαλασσόμενοι* erklären alte Grammatiker mit *ἐμπλεκόμενοι*. Vgl. Thuk. VII 84 *σκεύεσι ἐμπαλασσόμενοι*.

11. *ἐπετετάχατο ἐς*. Vgl. c. 81. Ueber die Form vgl. zu c. 76.

86. 12. *εἶχον*. Ueber die doppelte Beziehung von *εἶχον* s. z. c. 10 (*ἔλεγε*).

ἐσεσάχατο wie c. 73.

13. *καί* wie. Vgl. c. 84.

15. *Κάσπιοι*, die c. 67 erwähnten.

17. *Κάσπιοι*. So die Handschriften. Da indes auf diese Weise der Name der Kaspier zweimal vorkommt und an das andere Volk dieses Namens (s. z. c. 67) hier füglich nicht gedacht werden kann, so hat Reiz für *Κάσπιοι* vermutet *Κάσπει-*

κάνιοι ἐσεσάχατο ὁμοίως καὶ ἐν τῷ πεζῷ. Ἀράβιοι δὲ σκευὴν μὲν εἶχον τὴν αὐτὴν καὶ ἐν τῷ πεζῷ, ἤλαυνον δὲ πάντες καμήλους ταχυτῆτα οὐ λειπομένας ἵππων. Ταῦτα τὰ ἔθνεα μοῦνα 87
ἵππευε, ἀριθμὸς δὲ τῆς ἵππου ἐγένετο ὀκτὼ μυριάδες, πάρεξ τῶν καμήλων καὶ τῶν ἁρμάτων. Οἱ μέν νυν ἄλλοι ἱππέες ἐτετάχατο κατὰ τέλεα, Ἀράβιοι δὲ ἔσχατοι ἐπετετάχατο. ἅτε γὰρ τῶν ἵππων οὔτι ἀνεχομένων τὰς καμήλους ὕστεροι ἐτετάχατο, ἵνα μὴ φοβέοιτο τὸ ἱππικόν. Ἵππαρχοι δὲ ἦσαν Ἁρμα- 88
μίθρης τε καὶ Τίθαιος Δάτιος παῖδες. ὁ δὲ τρίτος σφι συνίππαρχος Φαρνούχης κατελέλειπτο ἐν Σάρδισι νουσέων. ὡς γὰρ ὡρμέοντο ἐκ Σαρδίων, συμφορῇ περιέπεσε ἀνεθελήτῳ. ἐλαύνοντι γάρ οἱ ὑπὸ τοὺς πόδας τοῦ ἵππου ὑπέδραμε κύων, καὶ ὁ ἵππος οὐ προϊδὼν ἐφοβήθη τε καὶ στὰς ὀρθὸς ἀπεσείσατο τὸν Φαρνούχεα, πεσὼν δὲ αἷμά τε ἤμεε, καὶ ἐς φθίσιν περιῆλθε ἡ νοῦσος. τὸν δὲ ἵππον αὐτίκα κατ' ἀρχὰς ἐποίησαν οἱ οἰκέται ὡς ἐκέλευε· ἐς τὸν χῶρον, ἐν τῷπερ κατέβαλε τὸν δεσπότην, ἀπαγαγόντες ἐν τοῖσι γούνασι ἀπέταμον τὰ σκέλεα. Φαρνούχης μὲν οὕτω παρελύθη τῆς ἡγεμονίης.

Τῶν δὲ τριηρέων ἀριθμὸς μὲν ἐγένετο ἑπτὰ καὶ διηκόσιαι 89
καὶ χίλιαι, παρείχοντο δὲ αὐτὰς οἵδε· Φοίνικες μὲν σὺν Συ-

ροι, welches Volk übrigens vorher nicht erwähnt ist, wie dies doch bei allen übrigen hier genannten Völkern der Fall ist. Reiz berief sich auf Steph. Byz. s. v. *Κάσπειρος· πόλις προσεχὴς τῇ Ἰνδικῇ Ἡρόδοτος γ΄· τὸ ἐθνικὸν Κάσπειροι*. Schöll vermutet, dasz statt *Κάσπιοι* zu lesen sei: *Πάκτυες* (vgl. c. 67 und III 102).

3. *ταχυτῆτα οὐ λειπομένας ἵππων.* Vgl. III 102 *κάμηλοι ἵππων οὐκ ἕσσονες ταχυτῆτα.* — *λείπεσθαι ἐς* I 99 (*οὐδὲ ἐς ἀνδραγαθίην λειπόμενοι*). Ueber die Bedeutung von *λείπεσθαί τινος* s. z. c. 8 mit Vergleichung von c. 48.

87. 6. *κατὰ τέλεα.* S. z. c. 81. *ἅτε — ἀνεχομένων.* Ueber *ἅτε* cum partic. s. z. c. 6. Zur Sache vgl. I 80 *κάμηλον ἵππος φοβέεται, καὶ οὐκ ἀνέχεται οὔτε τὴν ἰδέην αὐτῆς ὁρέων οὔτε τὴν ὀδμὴν ὀσφραινόμενος.*

88. 11. *συμφορῇ περιέπεσε.* Vgl. VI 16 *οὗτοι μέν νυν τοιαύτῃσι περιέπιπτον τύχῃσι* und VI 106 *πόλις δουλοσύνῃ περιπεσοῦσα.*

ἀνεθελήτῳ. *συμφορή ἀνεθέλητος* = *συμφορή ἄχαρις* (c. 190). Wie hier c. 133. Zum Ausdruck vgl. I 32 *ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστι ἰδεῖν, τὰ μή τις ἐθέλει.*

15. *κατ' ἀρχάς* (eig. = initio) verstärkt die Bedeutung von *αὐτίκα*. Wie hier sind beide verbunden c. 148. 220. 223.

17. *ἐν τοῖσι — σκέλεα* crura in genibus praeciderunt.

18. *παρελύθη τῆς ἡγεμονίης.* Zur Structur von *παραλύειν* vgl. z. c. 38.

Das Schiffsheer (c. 89—99).

89. 19. *ἑπτὰ — χίλιαι.* Auch Aesch. Pers. v. 347 (336) gibt die Zahl der persischen Schiffe, welche bei Salamis kämpften, auf 1207 an. Doch giengen nach Herodots Angaben 647 von diesen 1207 verloren (c. 190. 194. VIII 7. 11), und nur 120 (c. 185) kamen neu hinzu.

20. *Φοίνικες — σὺν Συρίοισι.*

ρίοισι τοῖσι ἐν τῇ Παλαιστίνῃ τριηκοσίας, ὧδε ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι κυνέας εἶχον ἀγχοτάτω πεποιημένας τρόπον τὸν Ἑλληνικὸν, ἐνδεδυκότες δὲ θώρηκας λινέους, ἀσπίδας δὲ ἴτυς οὐκ ἐχούσας εἶχον καὶ ἀκόντια. οὗτοι δὲ οἱ Φοίνικες τὸ παλαιὸν οἴκεον, ὡς αὐτοὶ λέγουσι, ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐνθεῦτεν δὲ ὑπερβάντες τῆς Συρίης οἰκέουσι τὰ παρὰ θάλασσαν. τῆς δὲ Συρίης τοῦτο τὸ χωρίον καὶ τὸ μέχρι Αἰγύπτου πᾶν Παλαιστίνη καλέεται. Αἰγύπτιοι δὲ νέας παρείχοντο διηκοσίας. οὗτοι δὲ εἶχον περὶ μὲν τῇσι κεφαλῇσι κράνεα χηλευτὰ, ἀσπίδας δὲ κοίλας, τὰς ἴτυς μεγάλας ἐχούσας, καὶ δούρατά τε ναύμαχα καὶ τύκους μεγάλους. τὸ δὲ πλῆθος
90 *αὐτῶν θωρηκοφόροι ἦσαν, μαχαίρας δὲ μεγάλας εἶχον. Οὗτοι μὲν οὕτω ἐστάλατο, Κύπριοι δὲ παρείχοντο νέας πεντήκοντα καὶ ἑκατὸν, ἐσκευασμένοι ὧδε. τὰς μὲν κεφαλὰς εἱλίχατο μίτρῃσι οἱ βασιλέες αὐτῶν, οἱ δὲ ἄλλοι εἶχον κιθῶνας, τὰ δὲ ἄλλα κατάπερ Ἕλληνες. τούτων δὲ τοσάδε ἔθνεά ἐστι, οἱ μὲν*

Das palaestinensische Syrien umfasste den Küstenstrich von Phönikien bis Aegypten (III 5. IV 39).

2. *ἀγχωτάτω*, hier absolut gebraucht = fast ganz. Mit Genet. c. 73. 80.

3. *τρόπον τὸν Ἑλληνικόν*. S. z. c. 63 (*τρόπον τινὰ βάρβαρον*).

θώρηκας λινέους. S. z. c. 63.

5. *τὸ παλαιὸν* wie c. 59. 91.

ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ. Nach phönikischer (vgl. ob. *ὡς αὐτοὶ λέγουσι*) wie persischer Ueberlieferung waren die ursprünglichen Sitze der Phoeniker am persischen Meere (vgl. c. 80), von wo aus sie später nach der syrischen Küste übersiedelten (I 1). — Dagegen haben neuere Gelehrte (Movers, Hengstenberg), welche mit Berufung auf I Buch Mos. 10, 15 die Phöniker für Kanaaniter halten, die Ansicht ausgesprochen, dasz die Phöniker die älteste Bevölkerung des nach ihnen benannten Landes ausmache, weil von einer Einwanderung der kanaanitischen Stämme, welche nach dem Lande (Kanaan = Niederung, Küste) benannt seien, in der heiligen Schrift nirgends die Rede sei.

6. *ὑπερβάντες* nämlich die Landstrecken und Gebirge, welche zwischen dem persischen Meerbusen und der Küste des Mittelmeeres liegen.

7. *τῆς Συρίης* hängt von *τὰ παρὰ θάλασσαν* (= Küstenstrich) ab.

τοῦτο τὸ χωρίον, der von den Phönikern bewohnte Küstenstrich. Vgl. ob. (S. 75, 20).

8. *Αἰγύπτιοι*. Landtruppen hatten die Aegyptier nicht gestellt (c. 34. 69). Vgl. IX 32 *οὐκ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ ἀπικόμενον ἐς Ἀθήνας Αἰγύπτιοι*.

10. *χηλευτά*, *πλεκτά* (c. 79).

11. *δούρατα ναύμαχα*. Vgl. Hom. Il. XV 389 *ξυστὰ ναύμαχα* (= Schiffsspeere).

τύκος eigentl. ein Werkzeug des Steinmetzen, mit welchem er die Steine behaut (Suidas s. v.). Hier ist wol eine Art steinerner Streitaxt zu verstehen.

13. *ἐστάλατο*. Ueber die Form s. z. c. 76.

90. 15. *βασιλέες*. Jede der neun Hauptstädte auf Kypern (s. z. V 110) hatte ihren eigenen König. — Ueber die *μίτρη* s. z. c. 62.

ἀπὸ Σαλαμῖνος καὶ Ἀθηνέων, οἱ δὲ ἀπὸ Ἀρκαδίης, οἱ δὲ ἀπὸ
Κύθνου, οἱ δὲ ἀπὸ Φοινίκης, οἱ δὲ ἀπὸ Αἰθιοπίης, ὡς αὐτοὶ
Κύπριοι λέγουσι. Κίλικες δὲ ἑκατὸν παρείχοντο νέας. οὗτοι 91
δ' αὖ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια, λαισήϊά τε
εἶχον ἀντ' ἀσπίδων, ὠμοβοέης πεποιημένα, καὶ κιθῶνας εἰρι-
νέους ἐνδεδυκότες· δύο δὲ ἀκόντια ἕκαστος καὶ ξίφος εἶχον,
ἀγχοτάτω τῇσι Αἰγυπτίῃσι μαχαίρῃσι πεποιημένα. Οὗτοι μὲν
τὸ παλαιὸν Ὑπαχαιοὶ ἐκαλέοντο, ἐπὶ δὲ Κίλικος τοῦ Ἀγήνορος
ἀνδρὸς Φοίνικος ἔσχον τὴν ἐπωνυμίην. Πάμφυλοι δὲ τριή-
κοντα παρείχοντο νέας Ἑλληνικοῖσι ὅπλοισι ἐσκευασμένοι. οἱ
δὲ Πάμφυλοι οὗτοι εἰσὶ τῶν ἐκ Τροίης ἀποσκεδασθέντων ἅμα
Ἀμφιλόχῳ καὶ Κάλχαντι. Λύκιοι δὲ παρείχοντο νέας πεντή- 92

1. ἀπὸ Σαλαμῖνος. Von der kleinen, Attika benachbarten Insel Salamis aus sollte das kyprische Salamis, die wichtigste Stadt der Insel, durch Teukros, Telamons Sohn, gegründet sein. Vgl. V 104. 110.

ἀπ' Ἀθηνέων nur insoweit, als Salamis als zu Attika gehörig angesehen wurde.

ἀπὸ Ἀρκαδίης. Nach der Sage gründeten Arkader auf der Heimfahrt von Troja eine Niederlassung in Paphos (Neupaphos). Vgl. Paus. VIII 5, 2.

ἀπὸ Κύθνου, einer Kykladeninsel.

2. ἀπὸ Φοινίκης. Phöniker scheinen die ältesten Ansiedler auf der Insel gewesen zu sein. Colonien von ihnen waren namentlich (Alt)-Paphos, Amathus (V 104).

ἀπὸ Αἰθιοπίης, vielleicht führte Amasis, nachdem er die Insel unterworfen, Aethiopen als Ansiedler dorthin (II 182).

91. 4. λαισήϊον. Tartsche, ein leichter Schild, wahrscheinlich immer (wie hier) aus Leder, leichter als ἀσπίς, daher πτερόεις (Hom. Il. V 453).

5. ὠμοβοέης (erg. δορᾶς) ist Genet. materiae, der sich namentlich oft bei ποιέειν findet. Vgl. V 59 συγκείμενόν σφι πωρίνου κίθου ποιέειν τὸν νηὸν Παρίου τὰ ἔμπροσθε αὐτοῦ ἐξεποίησαν (οἱ Ἀλκμαιωνίδαι). — Ueber die Ergänzung von δορα bei ὠμοβοέη s. z. c. 69. Ganz wie hier III 9. IV 65.

6. ἐνδεδυκότες erg. ἦσαν. Aehnlich c. 89.

7. ἀγχωτάτω τῇσι. ἀγχοτάτω hier mit Dativ verbunden (mit Genet. c. 73. 80 öfter, weil es mit πεποιημένα zu einem Begriff verschmilzt (= ὡμοιωμένα). Ebenso ist II 35 τὰ ἔμπαλιν, welches Her. sonst mit Genet. verbindet [II 19. 121], in der Verbindung mit ἵστασθαι mit Dativ verbunden, weil τὰ ἔμπαλιν ἵστασθαι = ἐναντιοῦσθαι.

8. Ὑπαχαιοί. Nach alten Sagen sollten sich Achaier aus dem hellenischen Mutterlande in Kilikien angesiedelt haben.

ἐπὶ δὲ Κίλικος — Φοίνικος. Hierin liegt angedeutet, dasz, wenn auch die achaeischen Einwanderer der Zeit nach die älteste Bevölkerung von Kilikien ausgemacht habe, doch bald die aus dem benachbarten Phönikien und Syrien eingewanderten Ansiedler das Uebergewicht gewannen. — Phönikische Sprache und Sitte hat man neuerdings in Münzen, Culten und Ortsnamen Kilikiens wieder zu erkennen geglaubt. — Ueber ἐπὶ bei ἔσχον τὴν ἐπωνυμίην s. z. c. 40.

11. ἅμα Ἀμφιλόχῳ. Von einer Niederlassung der heimkehrenden Griechen in Pamphylien unter Amphilochos und Kalchas redet auch

κοντα θωρηκοφόροι τε ἐόντες καὶ κνημιδοφόροι, εἶχον δὲ τόξα
κρανέϊνα καὶ ὀϊστοὺς καλαμίνους ἀπτέρους καὶ ἀκόντια, ἐπὶ δὲ
αἰγὸς δέρματα περὶ τοὺς ὤμους αἰωρεύμενα, περὶ δὲ τῇσι κεφα-
λῇσι πίλους πτεροῖσι περιεστεφανωμένους, ἐγχειρίδια δὲ καὶ
δρέπανα εἶχον. Λύκιοι δὲ Τερμίλαι ἐκαλέοντο ἐκ Κρήτης γε-
γονότες, ἐπὶ δὲ Λύκου τοῦ Πανδίονος ἀνδρὸς Ἀθηναίου ἔσχον
93 τὴν ἐπωνυμίην. Δωριέες δὲ οἱ ἐκ τῆς Ἀσίης τριήκοντα παρεί-
χοντο νέας, ἔχοντές τε Ἑλληνικὰ ὅπλα καὶ γεγονότες ἀπὸ Πε-
λοποννήσου. Κᾶρες δὲ ἑβδομήκοντα παρείχοντο νέας, τὰ μὲν
ἄλλα κατάπερ Ἕλληνες ἐσταλμένοι, εἶχον δὲ καὶ δρέπανα καὶ
ἐγχειρίδια. Οὗτοι δὲ οἵτινες πρότερον ἐκαλέοντο, ἐν τοῖσι
πρώτοισι τῶν λόγων εἴρηται. Ἴωνες δὲ ἑκατὸν νέας παρεί-
94 χοντο, ἐσκευασμένοι ὡς Ἕλληνες. Ἴωνες δὲ ὅσον μὲν χρόνον
ἐν Πελοποννήσῳ οἴκεον τὴν νῦν καλεομένην Ἀχαιίην, καὶ πρὶν
ἢ Δαναόν τε καὶ Ξοῦθον ἀπικέσθαι ἐς Πελοπόννησον, ὡς Ἕλ-
ληνες λέγουσι, ἐκαλέοντο Πελασγοὶ Αἰγιαλέες, ἐπὶ δὲ Ἴωνος

Strabo p. 984. 668. Derselbe Amphilochos, ein Sohn des Amphiaraos und der Eriphyle, sollte auf der Rückreise von Troja nach Kilikien verschlagen sein und dort in Posideum und Mallos Niederlassungen gegründet haben. Vgl. Her. III 91.

2. *ἐπὶ δέ* adverbial = ferner. S. z. c. 12.

3. *αἰωρεύμενα.* Aehnlich ist c. 61 *παραιωρέεσθαι* gebraucht.

5. *Τερμίλαι.* Dasselbe wird I 173 angegeben, wie überhaupt I 173. 176 nähere Angaben über das kriegerische Volk der Lykier enthalten, welches auch Homer (z. B. Il. II 876. VI 168 öfter) häufig erwähnt.

6. *Πανδίονος.* Pandion erbte als Sohn des Kekrops von diesem die Herrschaft über Attika.

93. 7. *Δωριέες.* Ueber die kleinasiatischen Dorier vgl. I 144. — Ueber den Gebrauch von *ἐκ* (*οἱ ἐκ τῆς Ἀσίης*) s. z. c. 37. c. 95 ist *στρατευόμενοι* hinzugefügt, was auch an unserer Stelle vorschwebt.

9. *ἑβδομήκοντα*, darunter die fünf der Artemisia. S. c. 99.

11. *ἐν τοῖσι πρώτοισι τῶν λόγων.* Vgl. I 171. 176.

94. 14. *Ἀχαιίην.* Früher hiesz die Nordküste des Peloponnes, ehe die Ioner von den Achaeern von dort verdrängt wurden, Aigialeia (=Uferland); daher hieszen auch die Ioner unt. *Πελασγοὶ Αἰγιαλέες.* Nachdem die Achaer die Ioner aus dem Peloponnes verdrängt hatten, zogen sich die letzteren nach Attika zurück. Vgl. I 145 und unt. c. 95.

15. *Δαναόν.* Ueber die Einwanderung des Aegypters Danaos in Argos vgl. II 91.

Ξοῦθον. Nach der Sage wurde Xuthos, der Sohn des Hellen, von seinen Brüdern Aiolos und Doros aus Thessalien vertrieben. Er flüchtete nach Attika und heiratete die Tochter des Königs Erechtheus, Kreūsa. Seine beiden Söhne Ion und Achaios wurden die Stammväter der Ioner und Achaier. Als Xuthos durch die Söhne des Erechtheus aus Attika vertrieben wurde, gelangte er nach der Sage nach Aigialos, dem Wohnsitz der Ioner (= *Ἴωνες Αἰγιαλέες*) und (später) der Achaier. Vgl. Paus. VII 1.

16. *Πελασγοὶ Αἰγιαλέες*, wie überhaupt im Peloponnes vor der Einwanderung der Dorer nach Herodots Meinung Pelasger das herschende Volk waren.

ἐπὶ δὲ Ἴωνος. Zur Sache vgl. VIII 49. *Ἴωνες δὲ τοῦ Ξούθου στρα-*

τοῦ Ξούθου Ἴωνες. Νησιῶται δὲ ἑπτακαίδεκα παρείχοντο νέας 95
ὡπλισμένοι ὡς Ἕλληνες. καὶ τοῦτο Πελασγικὸν ἔθνος ὕστερον
δὲ Ἰωνικὸν ἐκλήθη κατὰ τὸν αὐτὸν λόγον καὶ οἱ δυωδεκαπό-
λιες Ἴωνες οἱ ἀπ' Ἀθηνέων. Αἰολέες δὲ ἑξήκοντα νέας παρ-
είχοντο, ἐσκευασμένοι τε ὡς Ἕλληνες καὶ τὸ πάλαι καλεόμενοι
Πελασγοί, ὡς Ἑλλήνων λόγος. Ἑλλησπόντιοι δὲ πλὴν Ἀβυδη-
νῶν (Ἀβυδηνοῖσι γὰρ προσετέτακτο ἐκ βασιλέος κατὰ χώρην
μένουσι φυλάκους εἶναι τῶν γεφυρέων), οἱ δὲ λοιποὶ οἱ ἐκ
τοῦ Πόντου στρατευόμενοι παρείχοντο μὲν ἑκατὸν νέας, ἐσκευα-
σμένοι δὲ ἦσαν ὡς Ἕλληνες. οὗτοι δὲ Ἰώνων καὶ Δωριέων
ἄποικοι. Ἐπεβάτευον δὲ ἐπὶ πασέων τῶν νεῶν Πέρσαι καὶ 96

τάρχεω γενομένου Ἀθηναίοισι ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες.

95. 1. *νησιῶται*. Gemeint sind die Bewohner der Kykladen (vgl. V 31. VI 49. 99). Welche von den Inseln des aegaeischen Meeres zu den Griechen hielten, ist VIII 46 angegeben. *ἑπτακαίδεκα*. Anders Diodor XI 3 *νησιῶται δὲ πεντήκοντα παρέσχοντο*.

2. *τοῦτο*. Die Pronomina richten sich als Subject (oder als Object) im Numerus und Genus meist nach dem Praedicat. S. z. c. 5.

Πελασγικόν, eben weil sie Ioner waren; denn die Ioner sind Pelasger (I 56).

ὕστερον δὲ — ἐκλήθη ist als selbständiger Satz dem *τοῦτο Πελ. ἔθνος* angefügt. Aehnlich II 135. III 4. VI 134.

3. *κατὰ τὸν αὐτὸν λόγον* in derselben Weise. — Ueber *καί* nach *ὁ αὐτός* s. z. c. 50.

δυωδεκαπόλιες Ἴωνες. Ueber die 12 Städte der Ioner vgl. I 142. 147.

4. *οἱ ἀπ' Ἀθηνέων*. Die durch die Achaier aus dem Peloponnes verdrängten Ioner hatten sich zunächst nach Attika gewandt (s. z. c. 94 Anfang). Von dort waren sie teils nach Kleinasien gewandert, wo sie jene 12 Städte gründeten (I 145), teils hatten sie sich auf Inseln des aegaeischen Meeres angesiedelt. — Für *οἱ ἀπ' Ἀθηνέων* (erg. *γεγονότες*) steht I 147 vollständiger: *εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ' Ἀθηνέων γεγόνασι*.

Αἰολέες. Ueber die Städte der Aioler vgl. I 149.

5. *τὸ πάλαι* = *τὸ παλαιόν* (c. 91).

6. *Πελασγοί*. Auch die Aioler gelten dem Her. für Pelasger, weil sie ursprünglich in Thessalien gewohnt, welches Land auch als ältester Sitz der Pelasger angesehen wurde (I 57).

Ἑλλησπόντιοι, die Anwohner beider Küsten des Hellespont. Vgl. VI 33.

Ἀβυδηνῶν. Ueber Abydos s. z. c. 33.

7. *ἐκ* beim Passiv. S. z. c. 11.

κατὰ χώρην auch III 135. IV 97. 136.

8. *φυλάκους εἶναι*. Accusativ auf einen Dativ bezogen. Vgl. V 109 *ὥρη ἂν εἴη ὑμῖν ἐκβάντας ἐκ τῶν νεῶν τάσσεσθαι πεζῇ*. Ebenso VI 109. Wie hier unt. c. 107. 144. 173.

οἱ δὲ. Wiederaufnahme des *δέ* vor der Parenthese. *δέ* ist in gleicher Weise gebraucht c. 136. 141.

οἱ ἐκ τοῦ Πόντου wird im Folgenden näher bestimmt durch *οὗτοι δὲ Ἰώνων καὶ Δωριέων ἄποικοι*. Ionische Colonien waren unter anderen: Kyzikos, Prokonnesos, Lampsakos, Perinthos, Abydos; dorische: Chalkedon, Byzantion, Selymbria.

96. 11. *ἐπεβάτευον — Πέρσαι*. Vgl. c. 184 *ἐπεβάτευον ἐπὶ τούτων τῶν νεῶν, χωρὶς ἑκάστων τῶν*

Μῆδοι καὶ Σάκαι. τούτων δὲ ἄριστα πλωούσας παρείχοντο νέας Φοίνικες, καὶ Φοινίκων Σιδώνιοι. τούτοισι πᾶσι καὶ τοῖσι ἐς τὸν πεζὸν τεταγμένοισι αὐτῶν ἐπῆσαν ἑκάστοισι ἐπιχώριοι ἡγεμόνες, τῶν ἐγώ, οὐ γὰρ ἀναγκαίῃ ἐξέργομαι ἐς ἱστορίης λόγον, οὐ παραμέμνημαι. οὔτε γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν οἱ ἡγεμόνες, ἔν τ' ἔθνεϊ ἑκάστῳ ὅσαιπερ πόλιες, τοσοῦτοι καὶ ἡγεμόνες ἦσαν. εἵποντο δὲ ὡς οὐ στρατηγοί, ἀλλ' ὥσπερ οἱ ἄλλοι στρατευόμενοι δοῦλοι ἐπεὶ στρατηγοί τε οἱ τὸ πᾶν ἔχοντες κράτος καὶ ἄρχοντες τῶν ἐθνέων ἑκάστων, ὅσοι αὐτῶν ἦσαν
97 Πέρσαι, εἰρέαταί μοι. Τοῦ δὲ ναυτικοῦ ἐστρατήγεον οἵδε, Ἀριαβίγνης τε ὁ Δαρείου καὶ Πρηξάσπης ὁ Ἀσπαθίνεω καὶ Μεγάβαζος ὁ Μεγαβάτεω καὶ Ἀχαιμένης ὁ Δαρείου. τῆς μὲν Ἰάδος τε καὶ Καρικῆς στρατιῆς Ἀριαβίγνης ὁ Δαρείου τε παῖς καὶ τῆς Γωβρύεω θυγατρὸς Αἰγυπτίων δὲ ἐστρατήγεε Ἀχαιμένης Ξέρξεω ἐὼν ἀπ' ἀμφοτέρων ἀδελφεὸς, τῆς δὲ ἄλλης στρατιῆς ἐστρατήγεον οἱ δύο. τριηκόντεροι δὲ καὶ πεντηκόν-

ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων καὶ Σακέων τριήκοντα ἄνδρες.

1. *τούτων* bezieht sich auf ἐπὶ πασέων τῶν νεῶν zurück.

3. *ἐπῆσαν*. Vgl. VIII 71 καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος. Vgl. unten c. 104.

ἐπιχώριοι ἡγεμόνες, anders als beim Fuszvolk.

4. *ἐξέργεσθαι* eig. „abgehalten, verhindert, ausgeschlossen werden". Da aber das Ausschliessen in der Auffassung sich mit dem Begriff des Einschlieszens berührt, so kann ἐξέργεσθαι auch wie hier bedeuten: eingeschlossen werden, gezwungen werden. So heiszt IX 111 ὑπὸ τοῦ νόμου ἐξειργόμενος, vom Gesetz eingeschlossen, gezwungen. Vgl. c. 139 ἐνθαῦτα ἀναγκαίῃ ἐξέργομαι γνώμην ἀποδέξασθαι. Auch an unserer Stelle ist zu ἐξέργομαι, wofür c. 99 ἀναγκάζομαι steht, παραμεμνῆσθαι zu ergänzen. — Zum Ausdruck vgl. noch II 3 τὰ δ' ἂν ἐπιμνησθέω αὐτῶν ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος, ἐπιμνησθήσομαι. Der in dieser Stelle vorkommende Ausdruck ὑπὸ τοῦ λόγου dient zur Erläuterung der in unserer Stelle vorliegenden Verbindung ἐς ἱστορίης λόγον (= in Bezug auf den Zusammenhang der geschichtlichen Darlegung). — ἱστορίη steht in anderer Bedeutung I 1.

5. *ἐπάξιος*, memoratu dignus, auch II 14.

6. *ἔν τ'*. Ueber τε, welches dem vorhergehenden οὔτε entspricht, s. z. c. 8, I.

10. *εἰρέαταί μοι*. Dativ beim Passiv (s. z. c. 53).

97. 11. *Ἀριαβίγνης* fiel bei Salamis (VIII 89).

12. *Μεγάβαζος*. Vgl. V 32.

Ἀχαιμένης, Sohn des Darius und der Atossa. Näheres über ihn z. III 12. Vgl. unt. c. 236.

13. *Ἰάς*, wie hier adjectivisch IV 95. Vgl. Ἑλλάς c. 22. 115.

14. *τῆς Γωβρύεω θυγατρός*. Vgl. c. 2.

15. *ἀπ' ἀμφοτέρων*. Genau wie hier III 31. Erläutert durch III 30 Καμβύσης ἐξεργάσατο Σμέρδιν ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς.

16. *οἱ δύο*. Der Artikel, weil der Teil eines bestimmten Ganzen (hier 4) ebenfalls bestimmt ist. Wie hier c. 182.

τεροι καὶ κέρκουροι καὶ ἱππαγωγὰ πλοῖα σμικρὰ συνελθόντα ἐς τὸν ἀριθμὸν ἐφάνη τρισχίλια. Τῶν δὲ ἐπιπλωόντων μετά 98 γε τοὺς στρατηγοὺς οἵδε ἦσαν οἱ οὐνομαστότατοι, Σιδώνιος Τετράμνηστος Ἀνύσου, καὶ Τύριος Μάπην Σιρώμου, καὶ Ἀράδιος Μέρβαλος Ἀγβάλου, καὶ Κίλιξ Συέννεσις Ὠρομέδοντος, καὶ Λύκιος Κυβερνίσκος Σίκα, καὶ Κύπριοι Γόργος τε ὁ Χέρσιος καὶ Τιμῶναξ ὁ Τιμαγόρεω, καὶ Καρῶν Ἱστιαῖός τε ὁ Τύμνεω καὶ Πίγρης ὁ Σελδώμου καὶ Δαμασίθυμος ὁ Κανδαύλεω. Τῶν μέν νυν ἄλλων οὐ παραμέμνημαι ταξιαρχέων ὡς οὐκ 99 ἀναγκαζόμενος, Ἀρτεμισίης δὲ, τῆς μάλιστα θῶμα ποιεῦμαι ἐπὶ τὴν Ἑλλάδα στρατευσαμένης, γυναικὸς, ἥτις ἀποθανόντος τοῦ ἀνδρὸς αὐτή τε ἔχουσα τὴν τυραννίδα καὶ παιδὸς ὑπάρχοντος νεηνίεω ὑπὸ λήματός τε καὶ ἀνδρηΐης ἐστρατεύετο, οὐδεμιῆς ἐούσης οἱ ἀναγκαίης. οὔνομα μὲν δὴ ἦν αὐτῇ Ἀρτεμισίη, θυγάτηρ δὲ ἦν Λυγδάμιος, γένος δὲ ἐξ Ἁλικαρνησσοῦ τὰ πρὸς πατρὸς, τὰ μητρόθεν δὲ Κρῆσσα. ἡγεμόνευε δὲ Ἁλικαρνησσέων τε καὶ Κῴων καὶ Νισυρίων τε καὶ Καλυδνίων, πέντε νέας παρεχομένη. καὶ συναπάσης τῆς στρατιῆς, μετά γε τὰς Σιδωνίων, νέας εὐδοξοτάτας παρείχετο, πάντων δὲ τῶν συμμάχων γνώμας ἀρίστας βασιλέϊ ἀπεδέξατο. τῶν δὲ κατέ-

98. 4. *Σιρώμου.* Der phönikische Name Siromos (= Hiram) findet sich auch auf Kypros. Vgl. V 104.

Ἀράδιος, aus der phönikischen Stadt Aradus.

5. *Μέρβαλος* phoenikisch Merharbâl (Maharbal).

Συέννεσις scheint der Herschertitel der kilikischen Fürsten gewesen zu sein. Vgl. I 74.

6. *Γόργος*, Fürst von Salamis (auf Kypern). Vgl. V 104. 115.

7. *Ἱστιαῖος ὁ Τύμνεω*, auch V 37 erwähnt.

8. *Δαμασίθυμος*, Fürst der karischen Stadt Kalynda (VIII 87).

99. 9. *ὡς οὐκ ἀναγκαζόμενος.* S. z. c. 96.

10. *θῶμα ποιεῦμαι* (= *θωμάζω*). AehnlicheUmschreibungen mit *ποιέεσθαι* sind *βουλὴν ποιέεσθαι* VI 101 (= *βουλεύεσθαι*), *ὀργὴν ποιέεσθαι* (= *ὀργίζεσθαι*) c. 105, *σπουδὴν ποιέεσθαι* IX 8, *λήθην ποιέεσθαι* I 127. Vgl. c. 157.

12. *ἔχουσα—καὶ—ὑπάρχοντος.* Ueber die Verbindung von Participien, die im Casus verschieden sind, s. z. c. 9.

13. *νεηνίεω.* Er hiesz Pisindēlis. S. Einl. Bd. I S. 2.

λήματος. Vgl. V 111 *Ὀνήσιλος τὰ πολέμια κάρτα δόκιμος καὶ ἄλλως λήματος* (= *τόλμης*) *πλέος.*

16. *πρὸς πατρός* = *πατρόθεν* (VIII 90).

17. *Νισυρίων.* Nisyros, eine kleine Insel in der Nähe von Kos.

Καλυδνίων. Schon Homer kennt sie (Il. II 676). Bei anderen heiszt die Insel (oder Inseln) *Κάλυμνα* (j. Kalimnos). Sie liegt in der Nähe von Tenedos. Nisyros wie Kalydna waren von Kos aus colonisiert.

18. *πέντε.* S. z. c. 93 (*ἑβδομήκοντα*).

20. *γνώμας ἀρίστας — ἀπεδέξατο.* Vgl. VIII 68. 101.

τῶν, *τούτων* (*πολίων*) *ὧν*, wobei *τούτων* (*πολίων*) von *τὸ ἔθνος* abhängig zu denken ist.

λεξα πολίων ἡγεμονεύειν αὐτὴν, τὸ ἔθνος ἀποφαίνω πᾶν ἐὸν Δωρικὸν, Ἁλικαρνησσέας μὲν Τροιζηνίους, τοὺς δὲ ἄλλους Ἐπιδαυρίους.

100 Ἐς μὲν τοσόνδε ὁ ναυτικὸς στρατὸς εἴρηται, Ξέρξης δὲ ἐπεὶ ἠριθμήθη τε καὶ διετάχθη ὁ στρατὸς, ἐπεθύμησε αὐτός σφεας διεξελάσας θηήσασθαι. μετὰ δὲ ἐποίεε ταῦτα, καὶ διεξελαύνων ἐπὶ ἅρματος παρὰ ἔθνος ἓν ἕκαστον ἐπυνθάνετο, καὶ ἀπέγραφον οἱ γραμματισταὶ, ἕως ἐξ ἐσχάτων ἐς ἔσχατα ἀπίκετο καὶ τῆς ἵππου καὶ τοῦ πεζοῦ. ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, τῶν νεῶν κατελκυσθεισέων ἐς θάλασσαν ἐνθαῦτα ὁ Ξέρξης μετεκβὰς ἐκ τοῦ ἅρματος ἐς νέα Σιδωνίην ἵζετο ὑπὸ σκηνῇ χρυσέῃ καὶ παρέπλωε παρὰ τὰς πρῴρας τῶν νεῶν, ἐπειρωτέων τε ἑκάστας ὁμοίως καὶ τὸν πεζὸν καὶ ἀπογραφόμενος. τὰς δὲ νέας οἱ ναύαρχοι ἀναγαγόντες ὅσον τε τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνεκώχευον, τὰς πρῴρας ἐς γὴν τρέψαντες πάντες μετωπηδὸν καὶ ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. ὁ δ' ἐντὸς τῶν πρῳρέων πλώων ἐθηέετο καὶ τοῦ αἰγιαλοῦ.

101 Ὡς δὲ καὶ ταύτας διεξέπλωσε καὶ ἐξέβη ἐκ τῆς νεὸς, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα, καλέσας δ' αὐτὸν εἴρετο τάδε· Ὦ Δημάρητε, νῦν μοί σε ἡδύ ἐστι ἐπείρεσθαι τὰ ἐθέλω. σὺ εἶς Ἕλλην τε, καὶ, ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν

1. *ἀποφαίνω* sagt Her. mit einer gewissen Bestimmtheit, da er ja selbst aus Halikarnass stammte.

2. *Τροιζηνίους*. Der Zusammenhang zwischen dem argivischen Troezen und Halikarnass einerseits, so wie zwischen dem (ebenfalls argivischen) Epidauros und den dorischen Inseln (so namentlich Kos) andrerseits ist auch durch Angaben anderer alten Schriftsteller genügend erwiesen. Vgl. Paus. II 39. Strab. p. 656.

Musterung des Heers und der Flotte (c. 100). Gespräch mit Demaratos (c. 101—104). Maskames (c. 106). Boges (107).

100. 4. *ἐς τοσόνδε* = *ἐς τοσοῦτο*. Vgl. c. 12 u. VIII 19 *ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου*.

8. *γραμματισταί*. Ueber sie s. z. c. 60.

9. *οἱ ἐπεποίητο*, wie c. 55 Anfang.

10. *κατελκυσθεισέων*. *κατελκύειν* oppos. *ἀνελκύειν* (c. 59).

11. *νέα Σιδωνίην*. Vgl. c. 128. Weshalb Xerxes hierzu ein sidonisches Schiff wählte, geht aus c. 44. 96. 99 hervor.

13. *ὁμοίως καί*. Ueber *καί* s. z. c. 50.

14. *ὅσον τε* fere, auch IX 57 *ὅσον τε δέκα στάδια* öfter.

πλέθρα, also etwa 400'. Das *πλέθρον* ist der sechste Teil des *στάδιον*.

101. 19. *Δημάρητον*. Ueber den spartanischen König Demarat, seine Absetzung und Flucht zum Dareios vgl. VI 51. 67—70. S. auch c. 3.

21. *εἷς*. Attisch?

ἐμοὶ ἐς λόγους ἀπικνεομένων, πόλιος οὔτ' ἐλαχίστης οὔτ' ἀσθενεστάτης. νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι. οὐ γάρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι, μὴ ἐόντες ἄρθμιοι. ἐθέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτῶν, πυθέσθαι. Ὁ μὲν ταῦτα εἰρώτα, ὁ δὲ ὑπολαβὼν ἔφη· Ὦ βασιλεῦ, κότερα ἀληθείῃ χρήσωμαι πρὸς σὲ ἢ ἡδονῇ; Ὁ δέ μιν ἀληθείῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ πρότερον
ἦν. Ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε· Βασιλεῦ, 102
ἐπειδὴ ἀληθείῃ χρήσασθαι πάντως με κελεύεις ταῦτα λέγοντα, τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφός ἐστι, ἀρετὴ δὲ ἔπακτός ἐστι,

1. πόλιος (Genet. der Angehörigkeit) hängt von εἷς ab.

οὔτ' ἐλαχίστης οὔτ' ἀσθενεστάτης. Litotes. Vgl. IV 95 Ἕλλησι ὡμίλησε καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ (erg. ἀλλὰ τῷ σοφωτάτῳ) σοφιστῇ Πυθαγόρῃ. Aehnlich c. 171 οὐ φλαυρότατοι φαίνονται ἐόντες Κρῆτες τιμωροὶ Μενέλεῳ.

2. νῦν ὦν. Ueber die Bedeutung von ὦν s. z. c. 49 (οὐκ ὦν).

ὑπομενέουσι erg. ἐμέ. ὑπομένειν mit Partic. auch c. 209 ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων, τό σε, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον.

3. οὐ γὰρ — οὐδὲ — οὐκ ἀξιόμαχοι. Durch die Häufung und Wiederholung der Negationen wird der Gedanke recht nachdrücklich verneint.

4. πρὸς ἑσπέρης. Ueber πρὸς cum genet. s. z. c. 20.

5. ἀξιόμαχος mit Infin. auch c. 138.

6. μὴ ἐόντες ἄρθμιοι. μή beim Particip, weil dieses hypothetische Bedeutung hat (= wenn sie nicht vereinigt zusammenhalten). Zur Bedeutung von ἄρθμιος (vgl. IX 9 οὕτω ἔχει, ἄνδρες ἔφοροι, Ἀθηναίων ἡμῖν ἐόντων μὴ ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων).

7. τὸ ἀπὸ σεῦ. Vgl. I 159 τὸν ἱκέτην ἐς τόδε οὐ τετολμήκαμεν ἐκδιδόναι, πρὶν ἂν τὸ ἀπό σευ ἡμῖν δηλωθῇ ἀτρεκέως, ὁκότερα ποιέωμεν.

9. ἢ ἡδονῇ. ἡδονῇ χρᾶσθαι ist hier so viel wie πρὸς ἡδονὴν λέγειν „einem zu Gefallen oder nach dem Munde reden“. Vgl. Thuk. II 37. VI 17.

102. 13. τὰ μὴ ψευδόμενός τις — ἁλώσεται. μή, welches mit ἁλώσεται zu verbinden, ist gesetzt, weil der Relativsatz dem Gedanken nach die Bedeutung eines Folgesatzes hat (πάντως με κελεύεις οὕτω (= ταῦτα) λέγοντα, ὥστε μὴ ψευδόμενόν τινα ἁλώσεσθαι. Vgl. IV 166 ἐπεθύμεε· μνημόσυνον ἑωυτοῦ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βασιλέϊ κατεργασμένον.

τῇ Ἑλλάδι — ἐστι. Nach Final- und Causalsätzen schieben wir im Deutschen häufig die Imperative: wisse, höre u. ä. ein, indem wir die übrige Rede von denselben abhängig machen, während im Griechischen wie Lateinischen der Gedanke in unabhängiger Rede (ohne einen solchen eingeschobenen Imperativ) ausgesprochen wird. Vgl. Hom. Odyss. I 231 ξεῖν', ἐπεὶ ἂρ δὴ ταῦτά μ' ἀνείρεαι· μέλλεν μέν ποτε οἶκος ὅδ' ἀφνειὸς ἔμμεναι.

14. αἰεί κοτε auch I 58. VI 86; häufig so auch im Att. ἀεί ποτε (Thuk. I 13).

σύντροφος, die Armut ist mit

ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ, τῇ διαχρεομένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην. αἰνέω μέν νυν πάντας τοὺς Ἕλληνας τοὺς περὶ ἐκείνους τοὺς Δωρικοὺς χώρους οἰκημένους, ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους, ἀλλὰ περὶ Λακεδαιμονίων μούνων, πρῶτα μὲν ὅτι οὐκ ἔστι, ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι, αὖτις δὲ ὡς ἀντιώσονταί τοι ἐς μάχην, καὶ ἢν οἱ ἄλλοι Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. ἀριθμοῦ δὲ πέρι, μὴ πύθῃ, ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι. ἤν τε γὰρ τύχωσι ἐξεστρατευμένοι χίλιοι, οὗτοι μαχέσονταί τοι, ἤν τε ἐλάσσονες τούτων, ἤν τε καὶ πλεῦνες.

103 Ταῦτα ἀκούσας Ξέρξης γελάσας ἔφη· Δημάρητε, οἷον ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχέσασθαι. ἄγε, εἰπέ μοι, σὺ φῂς τούτων τῶν ἀνδρῶν αὐτὸς βασιλεὺς γενέσθαι. σὺ ὦν ἐθελήσεις αὐτίκα μάλα πρὸς ἄνδρας δέκα μάχεσθαι; καίτοι εἰ τὸ πολιτικὸν ὑμῖν πᾶν ἐστὶ τοιοῦτο, οἷον σὺ διαιρέεις, σέ γε τὸν ἐκείνων βασιλέα πρέπει πρὸς τὸ διπλήσιον ἀντιτάσσεσθαι κατὰ νόμους τοὺς ὑμετέρους. εἰ γὰρ ἐκείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς τῆς ἐμῆς ἀντάξιός ἐστι, σὲ δέ γε δίζημαι εἴκοσι εἶναι ἀντάξιον· καὶ οὕτω μὲν ὀρθοῖτ' ἂν ὁ λόγος ὁ παρὰ σεῦ εἰρημένος. εἰ δὲ τοιοῦτοί τε ἐόντες καὶ

den Griechen zusammen aufgewachsen, d. i. sie sind von Jugend auf daran gewöhnt. Oppos. ἔπακτος. — Zum Gedanken (ἀρετὴ ἔπακτος) vgl. Eurip. fr. 642 πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές. Theokr. XXI, 1 ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει. Plaut. Stich. I, 3, 24 Paupertas omnes artes perdocet ubi quem attigit.

1. *ἀπό τε σοφίης.* Beachte ἀπό beim Passiv (in der Auffassung verschieden von ὑπό). σοφίη ist hier der angeborene Verstand wie I 60 οἱ Ἀθηναῖοι πρῶτοι λέγονται εἶναι Ἑλλήνων σοφίην κατεργασμένη passive, wie τὰ ἐργασμένα c. 53.

διαχρεομένη. In διαχρᾶσθαι waltet (mehr als in χρᾶσθαι) der Begriff des Constanten vor. Vgl. c. 9. 210.

4. *οἰκημένους.* S. z. c. 9.

ἔρχομαι λέξων. S. z. c. 49.

8. *τὰ σὰ φρονέουσι.* Zur Bedeutung vgl. IX 99 οἱ Σάμιοι τὰ Ἑλλήνων ἐφρόνεον. Aehnlich II 162 οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον.

103. 12. *οἷον ἐφθέγξαο ἔπος* erinnert an das homerische ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων (Il. IV 350).

17. *διαιρέεις.* S. z. c. 16.

19. *σὲ δέ.* Durch das δὲ ἀποδοτικόν (δέ in apodosi) wird der logische Nachsatz zu einem dem Vordersatze beigeordneten Satze, der freilich eben durch δέ einen besonderen Nachdruck erhält. Vgl. III 37 ὃς δὲ τούτους μὴ ὀπώπεε ἐγὼ δέ οἱ σημανέω. Genaueres über diesen Gebrauch von δέ s. z. I 13.

20. *ὀρθοῖτ' ἄν* = ὀρθός ἂν εἴη. Vgl. VI 68 τίς μευ ἐστὶ πατὴρ ὀρθῷ λόγῳ. Aehnlich wie hier Aesch. Agam. 1454 νῦν δ' ὤρθωσας στόματος γνώμην „jetzt hast du ein wahres Wort gesprochen."

μεγάθεα τοσοῦτοι, ὅσοι σύ τε καὶ οἱ παρ' ἐμὲ φοιτέουσι Ἑλλήνων ἐς λόγους, αὐχέετε τοσοῦτο, ὅρα, μὴ μάτην κόμπος ὁ λόγος οὗτος ὁ εἰρημένος εἴη. ἐπεὶ φέρε ἴδω παντὶ τῷ οἰκότι· κῶς ἂν δυναίατο χίλιοι ἢ καὶ μύριοι ἢ καὶ πεντακισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι ἐόντων ἐκείνων πέντε χιλιάδων. ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον γενοίατ' ἂν δειμαίνοντες τοῦτον καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες, ἀνειμένοι δὲ ἐς τὸ ἐλεύθερον οὐκ ἂν ποιέοιεν τούτων οὐδέτερα. δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μάχεσθαι. ἀλλὰ παρ' ἡμῖν τοῦτό ἐστι, τὸ σὺ λέγεις, ἔστι γε μέντοι οὐ πολλὸν, ἀλλὰ σπάνιον. εἰσὶ γὰρ Περσέων τῶν ἐμῶν αἰχμοφόρων οἱ ἐθελήσουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχεσθαι, τῶν σὺ ἐὼν ἄπειρος πολλὰ φλυηρέεις. Πρὸς ταῦτα Δημάρητος λέγει· Ὦ βασιλεῦ, 104
ἀρχῆθεν ἠπιστάμην, ὅτι ἀληθείῃ χρεόμενος οὐ φίλα τοι ἐρέω, σὺ δὲ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. καίτοι ὡς ἐγὼ τυγχάνω

2. *μεγάθεα* Accus. des Bezugs. Der (seltnere) Plural auch II 10. III 102. 107.

2. *μάτην* ist Adverb; vgl. Eur. Ion *τί δαὶ τόδ'; ἆρ' ἀληθὲς ἢ μάτην λόγος.* Für *μάτην* gebraucht Her. sonst in demselben Sinne *ἄλλως.* So V 41 *φάμενοι αὐτὴν κομπέειν ἄλλως βουλομένην ὑποβαλέσθαι.* Aehnlich IV 77 *ὁ λόγος ἄλλως πέπαισται ὑπ' αὐτῶν Ἑλλήνων.*

3. *ἐπεί*, denn, auch c. 152. Zu diesem Gebrauch von *ἐπεί* vgl. Sophokl. Oed. tyr. 390 *ἐπεὶ φέρ' εἰπέ*, denn sage mir doch.

φέρε ἴδω. Den Cohortativus im Singular (mit Vortritt von *ἄγε, φέρε, ἰδέ*) gebraucht Herodot öfter (vgl. *φέρε ἀκούσω* I 11; ebenso II 14. 105). Bei den Attikern findet sich derselbe fast immer nur in der ersten Person Pluralis (z. B. *ἴωμεν*).

παντὶ τῷ οἰκότι. τὸ οἰκός (= das wahrscheinliche) od. *ὁ λόγος οἰκώς*) ist dem *μάτην κόμπος* oder *λόγος* entgegengesetzt. Vgl. III 111 *λόγῳ οἰκότι χρεόμενοι τοῦτο λέγουσι.* Vgl. auch c. 129. 167. 239.

10. *ἀναγκαζόμενοι μάστιγι*, dafür *ὑπὸ μαστίγων* c. 22.

11. *ἀνειμένοι. ἀνιένει* remittere eigentl. vom Loslassen, Lockern der Zügel. Demgemäsz heiszt *ἀνειμένος* frei gelassen. Vgl. Eur. Herakl. 3 *ἀνειμένος ἐς τὸ κέρδος.* In etwas anderer Bedeutung steht *ἀνειμένος* bei Herod. II 167 (*ἐς τὸν πόλεμον*).

12. *οὐδέτερα.* Ueber den Plural s. z. c. 53 (*δεύτερα*).

15. *αἰχμωφόρων.* Ueber sie vgl. c. 41.

104. 18. *ἀρχῆθεν* hier in erster Bedeutung von Anfang an; ebenso II 138. III 80. In anderer (= überhaupt) V 18. In beiden Bedeutungen gebraucht auch Her. häufig *ἀρχήν.*

19. *τῶν λόγων τοὺς ἀληθεστάτους.* Zum Superlativ vgl. c. 108 *ὁ δικαιότατος τῶν λόγων.*

20. *τὰ κατήκοντα* erg. *πρήγ-*

τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώϊα ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ ὁ σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον δέδωκε. οὐκ ὦν οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὔνοιαν φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι οὔτε δυοῖσι, ἑκών τε εἶναι οὐδ' ἂν μουνομαχέοιμι. εἰ δὲ ἀναγκαίη εἴη ἢ μέγας τις ὁ ἐποτρύνων ἀγὼν, μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τούτων τῶν ἀνδρῶν, οἳ Ἑλλήνων ἕκαστός φησι τριῶν ἄξιος εἶναι. ὣς δὲ καὶ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχόμενοι οὐδαμῶν εἰσὶ κακίονες ἀνδρῶν, ἁλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι δεσπότης νόμος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον, ἢ οἱ σοὶ σέ. ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τὠυτὸ αἰεὶ, οὐκ ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα

ματα, was VIII 19 hinzugefügt ist; eig. = das, was gegenwärtig ist, daher so viel wie die gegenwärtigen Zustände. Der Dativ ist hinzugefügt wie auch bei *κατήκει μοι*. Wie hier IV 36. VIII 40. 102.

1. *τὰ νῦν τάδε* (= nunc maxime) ist ein adverbieller Ausdruck, der sich auch bei attischen Dichtern findet. Vgl. Eur. Iph. Aul. 537 *ὦ τάλας ἐγὼ Ὡς ἠπόρημαι πρὸς θεῶν τὰ νῦν τάδε.*

ἐστοργὼς ἐκείνους, ironisch zu fassen.

2. *τιμή*, Königswürde. — Ueber die *γέρεα* der spartanischen Könige vgl. VI 56 ff.; über die Absetzung des Demaratos und seine Flucht zum Dareios s. VI 64—70.

4. *οὐκ ὦν*. S. z. c. 11.

οἰκός ἐστι, consentaneum est. Wie hier I 137. II 27. 93 und ob. c. 103.

7. *δυοῖσι*. Dieselbe Dativform hat Herod. I 32.

ἑκὼν εἶναι. Der Infinitiv ist für uns pleonastisch wie in den Wendungen *τὸ νῦν εἶναι*, *τὴν πρώτην εἶναι* (I 153), *τὸ σύμπαν εἶναι* überhaupt (c. 144) u. ä. Wie hier c. 164. VIII 30.

9. *οἳ — ἕκαστός φησι*. Das Verbum hat sich im Numerus nach dem appositiv an *οἵ* angeschlossenen *ἕκαστος* gerichtet, wie dies auch sonst öfter bei *ἕκαστος* der Fall ist, namentlich wenn diesem das Verb. (wie hier) näher steht.

10. *κατ' ἕνα* oppos. *ἁλέες*. Ueber *κατά* in distributiver Bedeutung s. z. c. 23.

12. *πάντα* adverbiell; dafür sonst *τὰ πάντα*, *διὰ πάντα* V. 220.

13. *ἔπεστι*. Zur Bedeutung s. z. c. 102.

δεσπότης νόμος. Gebieterisch verlangt es *μένοντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι*, und strenge bestraft es Feigheit. Beispiele s. IX 53. 71. Zum Ausdruck vgl. III 38 *νόμον φήσας πάντων βασιλέα εἶναι.*

15. *οὐκ ἐῶν* vetans. S. z. c. 16, II.

οὐδὲν πλῆθος hängt von *φεύγειν* ab.

16. *ἀλλὰ* erg. *κελεύων* (aus *οὐκ ἐῶν*). Genau wie hier c. 143 *οἳ οὐκ ἔων ναυμαχίην ἀρτέεσθαι, ἀλλ'*

σιγᾶν ἐθέλω τὸ λοιπόν, νῦν δὲ ἀναγκασθεὶς ἔλεξα. γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ.

105 Ὁ μὲν δὴ ταῦτα ἀμείψατο, Ξέρξης δὲ ἐς γέλωτά τε ἔτρεψε καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ' ἠπίως αὐτὸν ἀπεπέμψατο. τούτῳ δὲ ἐς λόγους ἐλθὼν Ξέρξης καὶ ὕπαρχον ἐν τῷ Δορίσκῳ τούτῳ καταστήσας Μασκάμην τὸν Μεγαδόστεω, τὸν δὲ ὑπὸ Δαρείου σταθέντα καταπαύσας ἐξήλαυνε τὸν στρατὸν διὰ τῆς Θρηΐκης ἐπὶ τὴν Ἑλλάδα.

106 Κατέλιπε δὲ ἄνδρα τοιόνδε Μασκάμην γενόμενον, τῷ μούνῳ Ξέρξης δῶρα πέμπεσκε ὡς ἀριστεύοντι πάντων, ὅσους κατέστησε αὐτὸς ἢ Δαρεῖος ὑπάρχους, πέμπεσκε δὲ ἀνὰ πᾶν ἔτος, ὣς δὲ καὶ Ἀρτοξέρξης ὁ Ξέρξεω τοῖσι Μασκαμείοισι ἐκγόνοισι. κατέστασαν γὰρ ἔτι πρότερον ταύτης τῆς ἐλάσιος ὕπαρχοι ἐν τῇ Θρηΐκῃ καὶ τοῦ Ἑλλησπόντου πανταχῇ. οὗτοι ὦν πάντες, οἵ τε ἐκ Θρηΐκης καὶ τοῦ Ἑλλησπόντου, πλὴν τοῦ ἐν Δορίσκῳ ὑπὸ Ἑλλήνων ὕστερον ταύτης τῆς στρατηλασίης ἐξαιρέθησαν, τὸν δὲ ἐν Δορίσκῳ Μασκάμην οὐδαμοί κω ἐδυνάσθησαν ἐξελεῖν πολλῶν πειρησαμένων. διὰ τοῦτο δέ οἱ τὰ δῶρα πέμπεται

ἐκλιπόντας χώρην τὴν Ἀττικὴν ἄλλην τινὰ οἰκίζειν. Ebenso IX 2.

105. 3. *ἐς γέλωτά τε ἔτρεψε* erg. τὸ πρῆγμα. Vgl. Thuk. VI 35 ἄλλοι δὲ καὶ πάνυ καταφρονοῦντες ἐς γέλωτα ἔτρεπον τὸ πρᾶγμα.

4. *ἐποιήσατο ὀργήν.* S. z. c. 99.

5. *τούτῳ*, wo die Musterung des Heeres und auch die eben erzählte Unterredung stattfand. τούτῳ weist zurück auf c. 59.

6. *καταστήσας.* κατιστάναι in gleicher Bedeutung V 25 ὁ Δαρεῖος καταστήσας Ἀρταφέρνεα ὕπαρχον εἶναι Σαρδίων.

106. 9. *τοιόνδε* wird durch den folgenden Relativsatz (τῷ — πέμπεσκε) erklärt, der die Bedeutung eines Consecutivsatzes hat. Vgl. c. 102.

μούνῳ. Weil sich M. allein von den Statthaltern, welche von Dareios oder Xerxes in Thrakien eingesetzt waren, auf seinem Posten behauptet hatte.

πέμπεσκε. Beachte die Iterativform. Zur Sache vgl. III 160 Ζωπύρῳ δὲ ὁ Δαρεῖος δῶρα ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα, τὰ Πέρσῃσί ἐστι τιμιώτατα.

10. *κατέστησε.* Vgl. c. 105.

11. *ἀνὰ πᾶν ἔτος* wie III 160 (s. ob.). Vgl. ἀνὰ πᾶσαν ἡμέρην VI 61.

14. *τοῦ Ἑλλησπόντου*, abhängig von πανταχῇ. Mit Ἑλλήσποντος ist (wie c. 95 mit Πόντος) das anliegende Küstenland bezeichnet, auf welchem z. B. Sestos lag.

οἵ τε ἐκ. Ueber die Umschreibung mit ἐκ s. z. c. 37.

15. *Δορίσκῳ.* Vgl. c. 59.

16. *ὕστερον ταύτης τῆς στρατηλασίης*, also nach 479 v. Chr., als die Athener mit ihren Bundesgenossen die thrakischen und hellespontischen Städte (z. B. Sestos IX 118) von den persischen Besatzungen säuberten.

ἐξαιρέεσθαι=ἐξαναστῆναι (ἐξ ἠθέων). Vgl. II 30 ἐκέλευε (τοὺς αὐτομόλους) *ἐξελόντας* (τοὺς Αἰθίοπας) τὴν ἐκείνων γῆν οἰκέειν.

17. *οὐδαμοί κω*, bis auf den heutigen Tag noch nicht; daher auch im Folgenden πέμπεται.

107 παρὰ τοῦ βασιλεύοντος αἰεὶ ἐν Πέρσῃσι. Τῶν δὲ ἐξαιρεθέντων ὑπὸ Ἑλλήνων οὐδένα βασιλεὺς Ξέρξης ἐνόμισε εἶναι ἄνδρα ἀγαθὸν, εἰ μὴ Βόγην μοῦνον τὸν ἐξ Ἠϊόνος. τοῦτον δὲ αἰνέων οὐκ ἐπαύετο, καὶ τοὺς περιεόντας αὐτοῦ ἐν Πέρσῃσι παῖδας ἐτίμα μάλιστα, ἐπεὶ καὶ ἄξιος αἴνου μεγάλου ἐγένετο Βόγης, ὃς ἐπειδὴ ἐπολιορκέετο ὑπὸ Ἀθηναίων καὶ Κίμωνος τοῦ Μιλτιάδεω, παρεὸν αὐτῷ ὑπόσπονδον ἐξελθεῖν καὶ νοστῆσαι ἐς τὴν Ἀσίην, οὐκ ἠθέλησε, μὴ δειλίῃ δόξειε περιεῖναι βασιλέϊ, ἀλλὰ διεκαρτέρεε ἐς τὸ ἔσχατον. ὡς δ' οὐδὲν ἔτι φορβῆς ἐνῆν ἐν τῷ τείχεϊ, συννήσας πυρὴν μεγάλην ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς παλλακὰς καὶ τοὺς οἰκέτας καὶ ἔπειτεν ἐσέβαλε ἐς τὸ πῦρ, μετὰ δὲ ταῦτα τὸν χρυσὸν ἅπαντα τὸν ἐκ τοῦ ἄστεος καὶ τὸν ἄργυρον ἔσπειρε ἀπὸ τοῦ τείχεος ἐς τὸν Στρυμόνα. ποιήσας δὲ ταῦτα καὶ ἑωυτὸν ἐπέβαλε ἐς τὸ πῦρ. οὕτω μὲν οὗτος δικαίως αἰνέεται ἔτι καὶ ἐς τόδε ὑπὸ
108 Περσέων. Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα, τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε. ἐδεδούλωτο γὰρ, ὡς καὶ πρότερόν μοι δεδήλωται, ἡ μέχρι Θεσσαλίης πᾶσα καὶ ἦν ὑπὸ βασιλέα δασμοφόρος Μεγαβάζου τε καταστρεψαμένου καὶ ὕστερον Μαρδονίου. παραμείβετο δὲ πορευόμενος ἐκ Δορίσκου πρῶτα μὲν τὰ Σαμο-

1. *τοῦ βασιλεύοντος αἰεί.* Ueber die Bedeutung von *αἰεί* s. z. c. 23.

107. 3. *Βόγην.* Zur Sache vgl. Plut. Kimon 7. Pausan. VIII 8, 5.

τὸν ἐξ Ἠϊόνος. *ἐκ* weil *ἐξαιρεθέντα* vorschwebt. Ueber Eion s. z. c. 25.

5. *αἶνος* = *ἔπαινος.* Wol nur hier so.

6. *Κίμωνος.* Nachdem es dem Kimon gelungen war, den Athenern die Hegemonie zu verschaffen, war die Eroberung der Feste Eion am Strymon seine erste Waffentat (470), durch welche die Macht der Athener in jenen Gegenden einen festen Stützpunkt gewann. Vgl. Thuk. I 98. Plut. Kim. 7.

7. *παρεόν.* S. z. c. 13.

ὑπόσπονδον. Accus. auf einen Dativ bezogen wie c. 95.

10. *τεῖχος*, Festung wie c. 59.

13. *τὸν ἐκ τοῦ ἄστεος.* Ueber den Gebrauch von *ἐκ* vgl. c. 106.

14. *ἐπέβαλε.* Beachte die Bedeutung von *ἐπί.*

15. *ἐς τόδε.* S. z. c. 47.

Zug von Doriskos nach Akanthos (c. 108—121).

108. 17. *τοὺς δὲ αἰεὶ γινομένους.* Ueber die Bedeutung von *αἰεί* s. z. c. 23.

18. *πρότερον.* S. V 1. VI 44. 45.

19. *ὑπὸ βασιλέα.* *ὑπό* c. accus. (s. auch z. c. 114) bezeichnet zum Ausdruck der Unterwürfigkeit bei Begriffen der Ruhe das (räumliche) Erstrecken der Gewalt (*ἦν ὑπὸ βασιλέα ἡ μέχρι Θεσσαλίης πᾶσα* erg. *γῆ*). Vgl. Thuk. I 110 *Αἴγυπτος ἐγένετο πάλιν ὑπὸ βασιλέα.* Häufiger wird *ὑπό*, die Unterwürfigkeit bezeichnend, mit Dativ verbunden. S. z. c. 11.

21. *τὰ Σαμοθρηΐκια τείχεα.*

θρηΐκια τείχεα, τῶν ἐσχάτη πεπόλισται πρὸς ἑσπέρην πόλις, τῇ οὔνομά ἐστι Μεσαμβρίη. ἔχεται δὲ ταύτης Θασίων πόλις Στρύμη, διὰ δέ σφεων τοῦ μέσου Λίσσος ποταμὸς διαρρέει, ὃς τότε οὐκ ἀντέσχε τὸ ὕδωρ παρέχων τῷ Ξέρξεω στρατῷ, ἀλλ' ἐπέλιπε. ἡ δὲ χώρη αὕτη πάλαι μὲν ἐκαλέετο Γαλλαϊκή, νῦν δὲ Βριαντική, ἔστι μέντοι τῷ δικαιοτάτῳ τῶν λόγων καὶ αὕτη Κικόνων. Διαβὰς δὲ τοῦ Λίσσου ποταμοῦ τὸ ῥέεθρον ἀπεξη- 109
ρασμένον πόλις Ἑλληνίδας τάσδε παραμείβετο, Μαρώνειαν, Δίκαιαν, Ἄβδηρα. ταύτας τε δὴ παρεξήϊε καὶ κατὰ ταύτας λίμνας οὐνομαστὰς τάσδε, Μαρωνείης μὲν μεταξὺ καὶ Στρύμης κειμένην Ἰσμαρίδα, κατὰ δὲ Δίκαιαν Βιστονίδα, ἐς τὴν ποταμοὶ δύο ἐσιεῖσι τὸ ὕδωρ, Τραῦός τε καὶ Κόμψατος. κατὰ δὲ Ἄβδηρα λίμνην μὲν οὐδεμίαν ἐοῦσαν οὐνομαστὴν παραμείψατο Ξέρξης, ποταμὸν δὲ Νέστον ῥέοντα ἐς θάλασσαν. μετὰ δὲ ταύτας τὰς χώρας ἰὼν τὰς ἠπειρώτιδας πόλις παρήϊε,

S. z. c. 59. Ebendaselbst siehe über die Wendung *πεπόλισται — πόλις*.

2. *Μεσαμβρίη*. Ueber den Casus s. z. c. 40. Eine Stadt dieses Namens lag auch am Pontos (VI 33).

ἔχεσθαι c. genet. „an etwas stoszen, grenzen" ist der eigentliche Ausdruck in der Länderbeschreibung und -aufzählung. Vgl. V 49 *Φρυγῶν ἔχονται Καππαδόκαι — τούτοισι δὲ πρόσουροι Κίλικες*.

Θασίων. Ueber das dem Festlande benachbarte Thasos s. c. 118.

4. *οὐκ ἀντέσχε — ἀλλ' ἐπέλιπε*. S. z. c. 58.

6. *Βριαντική*. Vgl. Liv. XXXVIII 41 Campus Priaticus und Plin. h. n. IV 41 Priantae.

τῷ δικαιοτάτῳ τῶν λόγων = *τῷ ἀληθεστάτῳ λόγῳ*.

καὶ αὕτη wie Doriskos (c. 59).

7. *Κικόνων*. Ueber die Kikonen s. z. c. 59.

109. 8. *Ἑλληνίδας*. Als Feminin. zu *Ἑλληνικός* ist *Ἑλληνίς* (c. 179) oder *Ἑλλάς* (c. 115 öfter) in Gebrauch.

Μαρώνεια j. Marogna. Später gründeten die Chier hier eine Niederlassung. Die Stadt war durch ihren vortrefflichen Wein berühmt (Plin. XIV 4, 6).

11. *Ἰσμαρίδα*, der nach der schon Hom. (Odyss. IX 39) bekannten Kikonenstadt Ismaros benannt war.

Δίκαια lag in der Nähe von Abdera. Ueber die Lage von Abdera vgl. VIII 120. Die Stadt war eine Colonie der Teïer (I 168) und lag Thasos gegenüber an der thrakischen Küste. Vgl. c. 120. 126.

Βιστονίδα, *Βιστωνὶς λιμνή* vgl. Plin. h. n. IV 42 stagnum Bistonum et gens, j. Lagos Burn, östlich von Abdera.

12. *Τραῦος*, ein Flüszchen am Ostabhange der Rhodope, an dem vermuthlich die *Τραυσοί* (V 3) wohnten.

Κόμψατος heiszt bei Aelian h. a. XV 25 *Κοσσίνιτος*.

14. *Νέστον*. Der *Νέστος* (oder *Νέσσος*) entspringt auf der Rhodope und fällt Thasos gegenüber ins Meer.

15. *μετά* ist Praeposition.

ἰὼν — παρήϊε. Aehnlich VI 34 *ἰόντες δὲ οἱ Δόλογκοι τὴν ἱρὴν ὁδὸν διὰ Φωκέων τε καὶ Βοιωτῶν ἤϊσαν*.

τὰς ἠπειρωτίδας πόλις, „Städte des Festlandes" im Gegens. zu den gegenüberliegenden Inselstädten. Weiter unten heissen die-

τῶν ἐν μιῇ λίμνη ἐοῦσα τυγχάνει ὡσεὶ τριήκοντα σταδίων μάλιστά κη τὴν περίοδον, ἰχθυώδης τε καὶ κάρτα ἁλμυρή. ταύτην τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξήρηνε. τῇ δὲ πόλι ταύτῃ

110 οὔνομά ἐστι Πίστυρος. ταύτας μὲν δὴ τὰς πόλις τὰς παραθαλασσίας τε καὶ Ἑλληνίδας ἐξ εὐωνύμου χειρὸς ἀπέργων παρεξήϊε, ἔθνεα δὲ Θρηΐκων, δι᾽ ὧν τῆς χώρης ὁδὸν ἐποιέετο, τοσάδε, Παῖτοι, Κίκονες, Βίστονες, Σαπαῖοι, Δερσαῖοι, Ἠδωνοὶ, Σάτραι. τούτων οἱ μὲν παρὰ θάλασσαν κατοικημένοι ἐν τῇσι νηυσὶ εἵποντο, οἱ δὲ αὐτῶν τὴν μεσόγαιαν οἰκέοντες καταλεχθέντες τε ὑπ᾽ ἐμεῦ, πλὴν Σατρέων οἱ ἄλλοι πάντες πεζῇ

111 ἀναγκαζόμενοι εἵποντο. Σάτραι δὲ οὐδενός κω ἀνθρώπων ὑπήκοοι ἐγένοντο, ὅσον ἡμεῖς ἴδμεν, ἀλλὰ διατελέουσι τὸ μέχρι ἐμεῦ αἰεὶ ἐόντες ἐλεύθεροι μοῦνοι Θρηΐκων. οἰκέουσί τε γὰρ οὔρεα ὑψηλὰ, ἴδῃσί τε παντοίῃσι καὶ χιόνι συνηρεφέα, καὶ εἰσὶ τὰ πολέμια ἄκροι, οὗτοι, οἳ τοῦ Διονύσου τὸ μαντήϊόν εἰσι κεκτημένοι. τὸ δὲ μαντήϊον τοῦτο ἐστὶ μὲν ἐπὶ τῶν οὐ-

selben „Küstenstädte" (τὰς πόλις παραθαλασσίας).

1. ὡσεί heiszt bei Zahlbestimmungen ungefähr; bei Her. wol nur hier. Vgl. Xen. Hell. I 2, 9. — Dieselbe Bedeutung hat μάλιστά κη (s. z. c. 22).

2. τὴν περίοδον ist Accus. des Bezuges.

3. τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξήρηνε. Anders c. 43 οὐδ᾽ ἀπέχρησε (τὸ ῥέεθρον) τῇ στρατιῇ τε καὶ τοῖσι κτήνεσι πινόμενος.

4. Πίστυρος. Einige Handschriften bieten Πίστιρος oder Πίσσυρος. Bei Steph. Byz. s. v. wird Πίστιρον als ein thrakischer Handelsplatz bezeichnet, der wol mit der hier erwähnten Stadt zusammenfällt.

5. ἀπέργων. S. z. c. 43.

110. 6. δι᾽ ὧν τῆς χώρης. Der Genetiv kann gleich nach der Praeposition vor dem ihn regierenden Nomen eintreten. Vgl. I 51 ἀλλ᾽ ὁ μὲν παῖς, δι᾽ οὗ τῆς χειρός ῥέει τὸ ὕδωρ.

7. Παῖτοι wohnten in der nach ihnen benannten Landschaft Παιτική (im nördlichen Thrakien). — Ueber die Kikonen s. z. c. 59, über die Bistonen s. c. 109.

Σαπαῖοι heiszen auch Σάπαι oder Σάιοι, wohnten an der Thasos gegenüber liegenden Küste; nördlich von ihnen saszen die Δερσαῖοι (s. Thuk. II 101). — Die Edoner wohnten in Mygdonien zwischen den Flüssen Axios und Strymon. Vgl. c. 114. V 11. — Die Σάτραι wohnten wahrscheinlich in den Gebirgstälern des Pangaeus.

8. κατοικημένοι. S. z. c. 9.

111. 11. οὐδενός κω. Beachte κω und vgl. c. 106. Μασκάμην οὐδαμοί κω ἐδυνάσθησαν ἐξελεῖν.

14. ἴδῃσι — συνηρεφέα. Zur Wendung vgl. IV 109 ἡ χώρη — δασέα ἴδῃσι παντοίῃσι und I 110 ἡ Μηδικὴ χώρη — ὀρεινὴ καὶ ὑψηλή τε καὶ ἴδῃσι συνηρεφής.

15. τὰ πολέμια ἄκροι. Vgl. V 112 νηυσὶ μέν νυν Ἴωνες ἄκροι γενόμενοι ὑπερεβάλοντο τοὺς Φοίνικας.

Διονύσου. Vgl. V 7.

τὸ μαντήϊον. Der Artikel weist auf etwas Bekanntes hin. Zur Sache vgl. Eur. Hek. 1267 ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε. Rhes. 972. Sogar zur Zeit der römischen

ρέων τῶν ὑψηλοτάτων, Βησσοὶ δὲ τῶν Σατρέων εἰσὶ οἱ προ-
φητεύοντες τοῦ ἱροῦ, πρόμαντις δὲ ἡ χρέουσα κατάπερ ἐν Δελ-
φοῖσι, καὶ οὐδὲν ποικιλώτερον. Παραμειψάμενος δὲ ὁ Ξέρξης 112
τὴν εἰρημένην δεύτερα τούτων παραμείβετο τείχεα τὰ Πιέρων,
τῶν ἑνὶ Φάγρης ἐστὶ οὔνομα καὶ ἑτέρῳ Πέργαμος. ταύτῃ μὲν
δὴ παρ' αὐτὰ τὰ τείχεα τὴν ὁδὸν ἐποιέετο, ἐκ δεξιῆς χειρὸς τὸ
Πάγγαιον οὖρος ἀπέργων, ἐὸν μέγα τε καὶ ὑψηλὸν, ἐν τῷ χρύ-
σεά τε καὶ ἀργύρεα ἔνι μέταλλα, τὰ νέμονται Πίερές τε καὶ
Ὀδόμαντοι καὶ μάλιστα Σάτραι, ὑπεροικέοντας δὲ τὸ Πάγγαιον 113

Kaiser bestand in Thrakien noch der Cult des Liber. Vgl. Suet. Aug. 94.

1. Βησσοί — εἰσι. „Unter den Satren sind es die Besser, welche". Die Besser, ein in früherer Zeit sehr mächtiges Volk Thrakiens, wohnten längs der ganzen Haemuskette bis nach Illyrien hinein. Nach Herodot kann es scheinen, dasz die Besser ein besonders geachteter Stamm unter den Satren gewesen, der den Tempeldienst besorgte und namentlich die Orakelsprüche der Gottheit, welche dieselbe durch den Mund der πρόμαντις verkündete (= χρέουσα), deutete und auslegte (= προφητεύειν). οἱ προφητεύοντες τοῦ ἱροῦ ist danach also so viel wie οἱ προφῆται τοῦ ἱροῦ. Zum Ausdruck vgl. Eur. Ion 413 τίς προφητεύει θεοῦ; — Zu πρόμαντις vgl. c. 141. VI 66. — χρᾶν oraculum edere (V 1), χρᾶσθαι oraculum consulere (c. 141).

3. καὶ οὐδὲν ποικιλώτερον sc. τὸ μαντήιον. Gedanke: Dieses dionysische Orakel ist in nichts künstlicher eingerichtet als das apollinische in Delphi.

112. παραμειψάμενος — τὴν εἰρημένην (erg. χώρην) wie gleich im folgenden παραμείβετο τείχεα, welches Herodot unmittelbar darauf umschreibt mit: παρ' αὐτὰ τὰ τείχεα τὴν ὁδὸν ἐποιέετο.

4. δεύτερα τούτων. Auch δεύτερα enthält wie ὕστερον comparative Form und Bedeutung. Häufig so ὕστερον τούτων (IX 105). Wie hier I 91. Vgl. ob. c. 80 δευτέρῳ ἔτεϊ τούτων.

τείχεα castella, wie c. 109.

Πιέρων. Die Pierier wohnten ursprünglich in der (makedonischen) Landschaft Pieria (s. c. 131); von dort waren sie durch die Makedonier vertrieben und hatten sich (im 7. Jahrh. v. Chr.) am Pangaios östlich vom Strymon angesiedelt, wo sie die beiden Städte Phagres und Pergamos gründeten. Vgl. Thuk. II 99.

6. τὸ Πάγγαιον οὖρος. Das Pangaiosgebirge (j. Pirnari) erstreckt sich östlich vom Prasiassee bis zum strymonischen Meerbusen hin. Es war reich an Gold- und Silbergruben (vgl. V 17 u. unt.).

7. ἀπέργων. S. z. c. 43.

8. ἔνι = ἔνεστι. Wie hier V. 31. Vgl. πάρα (= πάρεστι) I 42. μέτα c. 157.

9. Ὀδόμαντοι wohnten östlich vom Strymon bis zu den Abhängen des Pangaios, wo auch sie wie Pierier und Satren Gold- und Silbergruben hatten.

113. ὑπεροικέειν ist IV 21. 37 mit Genetiv verbunden (IV 37: τούτων ὑπεροικέουσι πρὸς βορέεω ἀνέμου Μῆδοι). Gemeint sind die Völkerschaften, die jenseits des Pangaios in nördlicher Richtung von demselben wohnten, als Paioner (V 1), welche von den illyrischen Bergen ostwärts bis zur Rhodope in den Landschaften am Strymon und Axios saszen (c. 113), ferner Paiopler, Doberen, welche die

πρὸς βορέεω ἀνέμου Παίονας Δόβηράς τε καὶ Παιόπλας παρεξιὼν ἤϊε πρὸς ἑσπέρην, ἐς ὃ ἀπίκετο ἐπὶ ποταμόν τε Στρυμόνα καὶ πόλιν Ἠϊόνα, τῆς ἔτι ζωὸς ἐὼν ἦρχε Βόγης, τοῦπερ ὀλίγῳ πρότερον τούτων λόγον ἐποιεύμην. ἡ δὲ γῆ αὕτη ἡ περὶ τὸ Πάγγαιον οὖρος καλέεται Φυλλὶς, κατατείνουσα τὰ μὲν πρὸς ἑσπέρην ἐπὶ ποταμὸν Ἀγγίτην ἐκδιδόντα ἐς τὸν Στρυμόνα, τὰ δὲ πρὸς μεσαμβρίην τείνουσα ἐς αὐτὸν τὸν Στρυμόνα, ἐς τὸν οἱ μάγοι ἐκαλλιρέοντο σφάζοντες ἵππους
114 λευκούς. Φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἠδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας τὸν Στρυμόνα εὑρόντες ἐξευγμένον. Ἐννέα δὲ ὁδοὺς πυνθανόμενοι τὸν χῶρον τοῦτον καλέεσθαι τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθένους ἀνδρῶν τῶν ἐπιχωρίων ζώοντας κατώρυσσον. Περσικὸν δὲ τὸ ζώοντας κατορύσσειν, ἐπεὶ καὶ Ἄμηστριν τὴν Ξέρξεω γυναῖκα πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ Περσέων παῖδας ἐόντων ἐπιφανέων ἀνδρῶν ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ γῆν λεγομένῳ εἶναι θεῷ ἀντιχαρί-

nördlichen Abhänge des Pangaios bewohnten (V 16).

1. *πρός* mit dem seltneren Genet. (s. z. c. 20). Anders unten (*τὰ πρὸς ἑσπέρην*).

3. *Ἠϊόνα*. Ueber die Stadt Eion s. z. c. 25. 107.

4. *ὀλίγῳ πρότερον* c. 107.

λόγον ποιέεσθαι steht hier in der Bedeutung von *μνήμην ποιέεσθαι* (V 74. VI 55). *λόγον ποιέεσθαι* (*τινὸς*) hat sonst bei Herodot eine andere Bedeutung (c. 13. 58. 218).

5. *κατατείνουσα*. So *τείνειν* von einem Gebirge II 6 *παρὰ Σερβωνίδα λίμνην τείνει τὸ Κάσιον οὖρος*.

τὰ πρὸς ἑσπέρην adverbialer Accusativ. Vgl. c. 20 *τὸ πρὸς μεσημβρίης*.

8. *ἐς τόν* verbinde mit *σφάζοντες*. Wie hier IV 62 *ἀποσφάζουσι ἀνθρώπους ἐς ἄγγος*, so dasz das Blut in das Gefäsz lief. Wie hier V 5. Diese prägnante Redeweise findet sich häufig im Griechischen. — Herodot gebraucht *σφάζω*, nicht *σφάττω* od. *σφάσσω*.

ἐκαλλιρέοντο. Wie hier c. 167. VI 82. Das Medium *καλλιρέεσθαι* hat die Bedeutung von *θύεσθαι*, während das unpersönlich gebrauchte *καλλιρέειν* = *καλὰ* (*χρηστά*) *γίνεσθαι* (c. 134).

114. 9. *φαρμακεύσαντες — ἐς τὸν ποταμόν* „nachdem sie dies (das Pferdeopfer) als Zauber, d. h. als Besänftigungsmittel gegen den Strom gebraucht hatten“.

10. *ἐν Ἐννέα ὁδοῖσι*, wo später Amphipolis gegründet wurde (Thuk. I 100).

11. *τὸν Στρύμονα — ἐξευγμένον*. Zur Sache vgl. c. 24.

14. *Περσικόν*. Zur Sache vgl. III 35.

15. *Ἄμηστριν*. Vgl. c. 61. IX 112.

17. *τῷ — θεῷ*. Nach den Religionsvorstellungen der Perser stand der reinen Lichtwelt, welche Ahuramazda (Ormuzd) beherscht, die Welt der Finsternis gegenüber, welche der „Arggesinnte“ Agramainyus (Ahriman) leitet. Vgl. I 131.

ὑπό mit Accus. drückt die Verbreitung unter etwas hin aus. Wie hier V 10. Vgl. auch c. 108.

ἀντιχαρίζεσθαι. Beachte *ἀντί*.

ζεσθαι κατορύσσουσαν. Ὡς δὲ ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο 115
ὁ στρατὸς, ἐνθαῦτα πρὸς ἡλίου δυσμέων ἐστὶ αἰγιαλὸς, ἐν τῷ
οἰκημένην Ἄργιλον πόλιν Ἑλλάδα παρεξήϊε. αὕτη δὲ καὶ ἡ
κατύπερθε ταύτης καλέεται Βισαλτίη. ἐνθεῦτεν δὲ κόλπον
τὸν ἐπὶ Ποσιδηΐου ἐξ ἀριστερῆς χειρὸς ἔχων ἤϊε διὰ Συλέος
πεδίου καλεομένου, Στάγειρον πόλιν Ἑλλάδα παραμειβόμενος,
καὶ ἀπίκετο ἐς Ἄκανθον, ἅμα ἀγόμενος τούτων ἕκαστον τῶν
ἐθνέων καὶ τῶν περὶ τὸ Πάγγαιον οὖρος οἰκεόντων, ὁμοίως
καὶ τῶν πρότερον κατέλεξα, τοὺς μὲν παρὰ θάλασσαν ἔχων
[οἰκημένους] ἐν νηυσὶ στρατευομένους, τοὺς δ᾽ ὑπὲρ θαλάσσης
πεζῇ ἑπομένους. τὴν δὲ ὁδὸν ταύτην, τῇ βασιλεὺς Ξέρξης τὸν
στρατὸν ἤλασε, οὔτε συγχέουσι Θρήϊκες οὔτ᾽ ἐπισπείρουσι, σέ-
βονταί τε μεγάλως τὸ μέχρι ἐμεῦ. Ὡς δὲ ἄρα ἐς τὴν Ἄκαν- 116
θον ἀπίκετο, ξεινίην τε ὁ Πέρσης τοῖσι Ἀκανθίοισι προεῖπε
καὶ ἐδωρήσατό σφεας ἐσθῆτι Μηδικῇ, ἐπαίνεέ τε ὁρέων αὐ-
τοὺς προθύμους ἐόντας ἐς τὸν πόλεμον καὶ τὸ ὄρυγμα ἀκούων.
Ἐν Ἀκάνθῳ δὲ ἐόντος Ξέρξεω συνήνεικε ὑπὸ νούσου ἀποθα- 117
νεῖν τὸν ἐπεστεῶτα τῆς διώρυχος Ἀρταχαίην, δόκιμον ἐόντα

115. 2. *πρὸς ἡλίου δυσμέων.* Ueber den Genet. bei *πρός* vgl. c. 113. Zum Ausdruck vgl. II 31 *ῥέει δὲ ἀπὸ ἑσπέρης τε καὶ ἡλίου δυσμέων.*

3. *Ἄργιλον.* Argilos, Stageiros (Geburtsort des Aristoteles), Akanthos (s. z. c. 22) waren Colonien der Andrier.

Ἑλλάδα. S. z. c. 109.

4. *Βισαλτίη.* Vgl. VIII 116.

5. *ἐπὶ Ποσιδηΐου.* Posideion, ein Vorgebirge im strymon. Meerbusen.

Συλέος πεδίου, auf Chalkidike.

8. *ὁμοίως καὶ τῶν πρότερον κατέλεξα* kurz für: *ὁμοίως καὶ τούτων ἕκαστον ἠγάγετο τῶν ἐθνέων τῶν πρότερον κατέλεξα.* Ueber *καί* = wie s. z. c. 50. Zur Sache vgl. c. 110.

9. *τοὺς μὲν παρὰ θάλασσαν — ἐν νηυσὶ στρατευομένους.* Vgl. c. 110.

12. *συγχέειν,* verschütten wie IV 127. Das *συγχέειν* muste dem *ἐπισπείρειν* vorhergehen.

13. *τὸ μεχρὶ ἐμεῦ* wie c. 111.

116. *ἄρα* bezeichnet öfter ein Fortschreiten der Handlung.

14. *ξεινίην—προεῖπε* „er verkündete ihnen Gastfreundschaft", d. h. „er ernannte sie zu seinen Gastfreunden". Vgl. c. 29.

15. *ἐσθῆτι Μηδικῇ.* Das medische Kleid (auch *στολὴ Μηδική* III 20), ein faltiges und lang herabwallendes Gewand, war die persische Hof- und Staatskleidung, die vom König öfter als Ehrengeschenk verliehen wurde. Näheres s. z. III 84.

16. *καὶ τὸ ὄρυγμα ἀκούων.* Auch zu *τὸ ὄρυγμα* gehört *ἐς* und zu *ἀκούων* ist *προθύμους ἐόντας* zu denken. Also vollständig: *καὶ προθύμους ἐόντας ἐς τὸ ὄρυγμα ἀκούων.* Bei Akanthos (s. c. 22) war der Anfang des Durchstichs; die Akanthier hatten bei den Canalarbeiten groszen Eifer gezeigt.

117. 17. *συνήνεικε* = *συνέβη,* so sehr häufig bei Her. Vgl. zu c. 4.

18. *ἐπεστεῶτα τῆς διώρυχος.* Vgl. c. 118 *οἱ ἐπεστεῶτες τῶν πολίων.* Aehnlich II 118. IV 84 und ob.

παρὰ Ξέρξῃ καὶ γένος Ἀχαιμενίδην, μεγάθεϊ τε μέγιστον ἐόντα
Περσέων (ἀπὸ γὰρ πέντε πήχεων βασιληΐων ἀπέλειπε τέσσε-
ρας δακτύλους) φωνέοντά τε μέγιστον ἀνθρώπων, ὥστε Ξέρ-
ξην συμφορὴν ποιησάμενον μεγάλην ἐξενεῖκαί τε αὐτὸν κάλλι-
στα καὶ θάψαι· ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή. τούτῳ δὲ τῷ
Ἀρταχαίῃ θύουσι Ἀκάνθιοι ἐκ θεοπροπίου ὡς ἥρωϊ, ἐπουνο-
μάζοντες τὸ οὔνομα. βασιλεὺς μὲν δὴ Ξέρξης ἀπολομένου Ἀρ-
118 ταχαίεω ἐποιέετο συμφορήν, οἱ δὲ ὑποδεκόμενοι Ἑλλήνων τὴν
στρατιὴν καὶ δειπνίζοντες Ξέρξην ἐς πᾶν κακοῦ ἀπίκατο οὕτω,
ὥστε ἀνάστατοι ἐκ τῶν οἰκίων ἐγίνοντο, ὅκου γε Θασίοισι
ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων τῶν σφετέρων δεξαμένοισι
τὴν Ξέρξεω στρατιὴν καὶ δειπνίσασι Ἀντίπατρος ὁ Ὀργέος
ἀραιρημένος, τῶν ἀστῶν ἀνὴρ δόκιμος ὁμοῖα τῷ μάλιστα, ἀπέ-
δεξε ἐς τὸ δεῖπνον τετρακόσια τάλαντα ἀργυρίου τετελεσμένα.
119 Ὡς δὲ παραπλησίως καὶ ἐν τῇσί ἄλλῃσι πόλισι οἱ ἐπεστεῶτες

c. 22 ἐπεστάτεον τοῦ ἔργου. Ueber Artachaies vgl. dasselbe Capitel.

1. μεγάθεϊ μέγιστον. Vgl. I 51 κρητῆρας δύο μεγάθεϊ μεγάλους. V 31 νῆσος μεγάθεϊ οὐ μεγάλη. Aehnlich VI 44 νέας πλήθεϊ πολλάς.

2. πήχεων βασιληΐων. Die babylonische oder königliche Elle ist um etwas gröszer als die hellenische; die letztere umfaszte 24 Fingerbreiten (δάκτυλοι) oder $1^1/_2$ griechische Fusz. Genaueres zu I 178.

ἀπέλειπε. Vgl. I 60 γυνή, μέγαθος ἀπὸ τεσσέρων πήχεων ἀπολείπουσα τρεῖς δακτύλους. Die durchschnittliche Grösze der Griechen wird auf vier πήχεες angegeben (Arist. ran. 1046).

3. φωνέοντά τε μέγιστον ἀνθρώπων. Vgl. IV 141 ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων.

4. συμφορὴν ποιέεσθαί τι „etwas für ein Unglück ansehen" ist eine bei Herodot sehr häufige Wendung. Vgl. VI 61. 86, 3. VIII 10 öfter.

6. ἐκ θεοπροπίου auch c. 189. I 7. 165. VI 118.

ὡς ἥρωϊ, wie auch der Krotoniate Philippos wegen seiner Schönheit bei den Egestaeern einen Totencult erhielt (V 47).

ἐπουνομάζοντες τὸ οὔνομα erg. αὐτοῦ. Wie hier IV 35.

118. 9. ἐς πᾶν κακοῦ ἀπίκατο. Wie hier IX 118 οἱ δὲ ἐν τῷ τείχεϊ ἐς πᾶν ἤδη κακοῦ ἀπιγμένοι ἦσαν. Die gleiche Bedeutung hat VIII 52 ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι.

10. ἀνάστατοι — ἐγίνοντο. S. z. c. 56.

ὅκου γε, causal, wie c. 160.

Θασίοισι — δεξαμένοισι — δειπνίσασι hängt von ἀπέδεξε ab.

11. ὑπὲρ τῶν ἐν ἠπείρῳ πολίων. S. c. 108. 109.

13. ἀραιρημένος. Zur Form vgl. ἀραίρητο c. 83.

ὁμοῖα τῷ μάλιστα erg. δοκίμῳ aus δόκιμος. Vgl. III 8 σέβονται δὲ Ἀράβιοι πίστις ἀνθρώπων ὁμοῖα τοῖσι μάλιστα sc. σεβομένοισι. Genau wie hier unt. c. 141. Das adverbielle ὁμοῖα auch c. 120.

ἀπέδεξε. ἀποδεικνύναι, darlegen von der Rechnungsablage (= λόγος) auch c. 118.

14. τετρακόσια ταλ., während die Jahreseinnahme nur 200—300 Tal. betrug (VI 46).

119. 15. ὡς παραπλησίως. Vgl. c. 86 ὡσαύτως öfter.

οἱ ἐπεστεῶτες. S. z. c. 117.

ἀπεδείκνυσαν τὸν λόγον. τὸ γὰρ δεῖπνον τοιόνδε τι ἐγένετο, οἷα ἐκ πολλοῦ χρόνου προειρημένον καὶ περὶ πολλοῦ ποιεύμενον· τοῦτο μέν, ὡς ἐπύθοντο τάχιστα τῶν κηρύκων τῶν περιαγγελλόντων, δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοὶ ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν πάντες ἐπὶ μῆνας συχνούς, τοῦτο δὲ κτήνεα σιτεύεσκον ἐξευρίσκοντες τιμῆς τὰ κάλλιστα, ἔτρεφόν τε ὄρνιθας χερσαίους καὶ λιμναίους ἔν τε οἰκήμασι καὶ λάκκοισι, ἐς ὑποδοχὰς τοῦ στρατοῦ, τοῦτο δὲ χρύσεά τε καὶ ἀργύρεα ποτήριά τε καὶ κρητῆρας ἐποιεῦντο, καὶ τὰ ἄλλα, ὅσα ἐπὶ τράπεζαν τίθεται, πάντα. ταῦτα μὲν αὐτῷ τε βασιλέϊ καὶ τοῖσι ὁμοσίτοισι μετ᾽ ἐκείνου ἐπεποίητο, τῇ δὲ ἄλλῃ στρατιῇ τὰ ἐς φορβὴν μοῦνα τασσόμενα. ὅκως δὲ ἀπίκοιτο ἡ στρατιή, σκηνὴ μὲν ἔσκε πεπηγυῖα ἑτοίμη, ἐς τὴν αὐτὸς σταθμὸν ποιεέσκετο Ξέρξης, ἡ δὲ ἄλλη στρατιὴ ἔσκε ὑπαίθριος. ὡς δὲ δείπνου γίνοιτο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον πόνον, οἱ δὲ ὅκως πλησθέντες νύκτα αὐτοῦ ἀγάγοιεν, τῇ ὑστεραίῃ τήν τε σκηνὴν ἀνασπάσαντες καὶ τὰ ἔπιπλα πάντα λαβόντες οὕτω ἀπελαύνεσκον, λείποντες οὐδέν, ἀλλὰ φερόμενοι.

120 Ἔνθα δὴ Μεγακρέοντος ἀνδρὸς Ἀβδηρίτεω ἔπος εὖ εἰρημένον ἐγένετο, ὃς συνεβού-

1. *ἀπεδείκνυσαν τὸν λόγον.* S. z. c. 118 (ἀπέδεξε).

2. *οἷα — προειρημένον.* Ueber οἷα cum partic. s. z. c. 6.

περὶ πολλοῦ ποιέεσθαί τι, auch c. 181. Das Gegenteil ἐν ἐλαφρῷ ποιέεσθαί τι (III 154). Bei προειρημένον schwebt vor ὑπὸ Ξέρξεω (s. c. 22), bei περὶ πολλοῦ ποιεύμενον dagegen ὑπὸ πολίων. Die Städte hatten auf die Verpflegung des Heeres die gröstmöglichste Sorgfalt verwandt.

3. *τοῦτο μὲν — τοῦτο δέ.* S. z. c. 6.

ὡς τάχιστα cum primum.

4. *δασάμενοι σῖτον*, das auf Staatskosten angekauft war.

5. *ἐπὶ μῆνας συχνούς.* Ueber die Bedeutung von ἐπί s. z. c. 1.

6. *σιτεύεσκον.* Beachte die Bedeutung der Iterativform. Vgl. im Folgenden ἔσκε, ποιεέσκετο, ἔχεσκον, ἀπελαύνεσκον.

ἐξευρίσκοντες τιμῆς τὰ κάλλιστα. τιμῆς ist Genet. pretii = um (hohen) Preis. Vgl. Apostelgeschichte VII 16 ὠνήσατο τιμῆς ἀργυρίου.

9. *ἐποιεῦντο.* Beachte die Bedeutung des Medii; anders oben ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν.

11. *ὁμοσίτοισι* = ὁμοτραπέζοισι (III 132). Vgl. auch V 24, wo Histiaeus σύσσιτος des Königs heiszt. Näheres zur Sache s. z. III 132.

τὰ ἐς φορβὴν μοῦνα τασσόμενα „das was für den Unterhalt allein ihnen auferlegt war“.

12. *ὅκως* c. opt. in iterativer Bedeutung, wie c. 6; dem entsprechen im Folgenden die iterativen Imperfecta.

13. *ἐς τὴν — ποιεέσκετο.* ἐς bezeichnet brachylogisch die dem σταθμὸν ποιέεσθαι vorhergehende Bewegung. Vgl. III 64 ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον.

σταθμός Rastort, Aufenthalt wie V 52.

14. *ὡς* (=ὅκως), cum optat., auch I 17.

15. *οἱ δεκόμενοι.* δέκεσθαι vom Wirte, auch V 9. VI 126.

17. *ἔπιπλα*, bewegliche Habe, auch III 35. VI 23.

λευσε Ἀβδηρίτῃσι πανδημεὶ αὐτοὺς καὶ γυναῖκας ἐλθόντας ἐς τὰ σφέτερα ἱρὰ ἵζεσθαι ἱκέτας τῶν θεῶν, παραιτεομένους καὶ τὸ λοιπόν σφι ἀπαμύνειν τῶν ἐπιόντων κακῶν τὰ ἡμίσεα, τῶν τε παροιχομένων ἔχειν σφι μεγάλην χάριν, ὅτι βασιλεὺς Ξέρξης οὐ δὶς ἑκάστης ἡμέρης ἐνόμισε σῖτον αἱρέεσθαι· παρέχειν γὰρ ἂν Ἀβδηρίτῃσι, εἰ καὶ ἄριστον προείρητο ὁμοῖα τῷ δείπνῳ παρασκευάζειν, ἢ μὴ ὑπομένειν Ξέρξην ἐπιόντα ἢ καταμείναντας κάκιστα πάντων ἀνθρώπων διατριβῆναι.

121 Οἱ μὲν δὴ πιεζόμενοι ὅμως τὸ ἐπιτασσόμενον ἐπέτελεον, Ξέρξης δὲ ἐκ τῆς Ἀκάνθου ἐντειλάμενος τοῖσι στρατηγοῖσι τὸν ναυτικὸν στρατὸν ὑπομένειν ἐν Θέρμῃ ἀπῆκε ἀπ' ἑωυτοῦ τὰς νέας πορεύεσθαι, Θέρμῃ δὲ τῇ ἐν τῷ Θερμαίῳ κόλπῳ οἰκημένῃ, ἀπ' ἧς καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει· ταύτῃ γὰρ ἐπυνθάνετο συντομώτατον εἶναι· μέχρι μὲν γὰρ Ἀκάνθου ὧδε τεταγμένος ὁ στρατὸς ἐκ Δορίσκου τὴν ὁδὸν ἐποιέετο· τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν [στρατὸν] μίαν αὐτέων ἔταξε παρὰ θάλασσαν ἰέναι ὁμοῦ τῷ ναυτικῷ· ταύτης μὲν δὴ ἐστρατήγεον Μαρδόνιός τε καὶ Μασίστης, ἑτέρη δὲ τεταγμένη ἤϊε τοῦ στρατοῦ τριτημορὶς τὴν μεσόγαιαν, τῆς

120. 2. ἵζεσθαι ἱκέτας τῶν θεῶν. Vgl. c. 141.

4. παροιχομένων. Beachte die Perfectbedeutung von παροίχομαι; vgl. ἥκω. Wie hier IX 58 ὑπὸ τὴν παροιχομένην νύκτα.

5. ἑκάστης ἡμέρης. Derselbe temporale Genetiv I 192. III 117. Vgl. ἔτεος ἑκάστου III 84. Auch c. 187 τῆς ἡμέρης.

σῖτον αἱρέεσθαι. Vgl. III 26 ἄριστον αἱρέεσθαι. Eine andere Bedeutung hat σῖτον αἱρέεσθαι IV 128.

παρέχειν γὰρ ἂν Ἀβδηρίτῃσι. Das unpersönliche παρέχει μοι auch VIII 8. 30. 75. 100. 140 öfter.

6. ὁμοῖα, adverbial, wie c. 118.

8. διατριβῆναι = ἀπολέσθαι. Vgl. unser aufreiben und latein. conterere.

121. 10. ἐκ τῆς Ἀκάνθου. Vgl. c. 116.

τὸν ναυτικὸν στρατόν ist Subject zu ὑπομένειν.

11. ἀπῆκε — πορεύεσθαι. Der Infinitiv locker an ἀπῆκε angefügt. Infin. epexegeticus. Vgl. I 194 τὸ πλοῖον τοῦτο ἀπιεῖσι κατὰ τὸν ποταμὸν φέρεσθαι. Aehnlich II 88. 96.

12. Θέρμῃ δέ. Ueber den Gebrauch von δέ (ἐν Θέρμῃ — Θέρμῃ δέ) s. z. c. 8, II.

τῷ Θερμαίῳ κόλπῳ. Heute Busen von Salonichi.

13. ταύτῃ — συντομώτατον εἶναι „denn er erfuhr, dasz der Weg über Therme (= ταύτῃ) der kürzeste wäre". In ähnlicher Weise ist IV 86 μακρότατον (= die längste Strecke) gebraucht. Zur Bedeutung von σύντομος vgl. V 17.

16. τρεῖς μοίρας δασάμενος πάντα τὸν πεζόν. Bei den Verben des Teilens treten häufig die Teile sowol wie das Ganze in den Accusativ. Wie hier IV 148 σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον. — Ueber zwei andere Construktionen der Verba des Teilens s. z. IV 148.

18. Μαρδόνιός τε καὶ Μασίστης. Ueber Mardonios vgl. c. 80, über Masistes c. 82.

19. ἤϊε τὴν μεσόγαιαν (= τὴν

ἐστρατήγεον Τριτανταίχμης τε καὶ Γέργις, ἡ δὲ τρίτη τῶν μοι-
ρέων, μετ' ἧς ἐπορεύετο αὐτὸς ὁ Ξέρξης, ἤιε μὲν τὸ μέσον
αὐτέων, στρατηγοὺς δὲ παρείχετο Σμερδομένεά τε καὶ Μεγά-
βυξον. Ὁ μέν νυν ναυτικὸς στρατὸς ὡς ἀπείθη ὑπὸ Ξέρξεω 122
καὶ διεξέπλωσε τὴν διώρυχα τὴν ἐν τῷ Ἄθῳ γενομένην, διέ-
χουσαν δὲ ἐς κόλπον, ἐν τῷ Ἄσσα τε πόλις καὶ Πίλωρος καὶ
Σίγγος καὶ Σάρτη οἰκέαται, ἐνθεῦτεν, ὡς καὶ ἐκ τούτων τῶν
πολίων στρατιὴν παρέλαβε, ἔπλωε ἀπιέμενος ἐς τὸν Θερμαῖον
κόλπον, κάμπτων δὲ Ἄμπελον τὴν Τορωναίην ἄκρην παρα-
μείβετο Ἑλληνίδας τάσδε πόλις, ἐκ τῶν νέας τε καὶ στρατιὴν
παρελάμβανε, Τορώνην, Γαληψὸν, Σερμύλην, Μηκύβερναν,
Ὄλυνθον. ἡ μέν νυν χώρη αὕτη Σιθωνίη καλέεται. Ὁ δὲ 123
ναυτικὸς στρατὸς ὁ Ξέρξεω συντάμνων ἀπ' Ἀμπέλου ἄκρης
ἐπὶ Καναστραῖον ἄκρην, τὸ δὴ πάσης τῆς Παλλήνης ἀνέχει
μάλιστα, ἐνθεῦτεν νέας τε καὶ στρατιὴν παρελάμβανε ἐκ Πο-
τιδαίης καὶ Ἀφύτιος καὶ Νέης πόλιος καὶ Αἰγῆς καὶ Θεράμβω

μέσην γῆν) erkläre nach der Figura etymologica (ἰέναι ὁδόν); so gleich auch im folgenden ἤιε τὸ μέσον αὐτέων.

1. Τριτανταίχμης τε καὶ Γέργις. Ueber beide vgl. c. 82; ebenso über Smerdomenes und Megabyzos.

122. Zug von Akanthos nach Therma (c. 122—127).

4. ἀπείθη ὑπὸ Ξέρξεω bezieht sich auf c. 121 zurück (Ξέρξης ἀπῆκε ἀπ' ἑωυτοῦ πορεύεσθαι τὰς νέας).

5. τὴν διώρυχα. S. c. 22.

διέχουσαν. Beachte διά. Vgl. IV 42 ὀρύσσων διώρυχα τὴν ἐκ τοῦ Νείλου διέχουσαν ἐς τὸν Ἀράβιον κόλπον.

6. ἐς κόλπον. Gemeint ist der singitische Meerbusen (h. Golf von Monte Santo), wofür Her. c. 22 den Ausdruck θάλασσα ἡ ἀντίον Τορώνης gebraucht. Um die Einbucht des Busens herum liegen die im Folgenden genannten Städte, von denen Assa am weitesten nördlich lag. Nach Singos war der Busen später benannt.

8. ἀπιέμενος eigentl. vorwärts strebend, hier: weiter segelnd. ἀπίεσθαι in ähnlicher Bedeutung III 87, in anderer (=dimitti) oben im Anfange des Capitels (ἀπείθη).

9. κάμπτων — ἄκρην. Vgl. c. 193 κάμψαντες δὲ τὴν ἄκρην τῆς Μαγνησίης.

Τορωναίην. Ueber Torone s. z. c. 22.

10. Ἑλληνίδας. S. z. c. 109.

11. Γαληψόν. Die Lage von Galepsos lässt sich nicht genau bestimmen. — Sermyle ist nördlich von Torone zu suchen. — Mekyberne lag etwa 20 Stadien von Olynth entfernt, dessen Hafenstadt es später wurde. — Olynth, die bedeutendste der griechischen Colonieen an der makedonischen und thrakischen Küste, lag 60 Stadien nördlich von Potidaia (Thuk. I 63) zwischen der pallenischen und sithonischen Halbinsel. Vgl. noch Her. VIII 127. Thuk. IV 123.

123. 13. συντάμνων (erg. ὁδόν) = abschneidend. Aehnlich V 41. Vgl. das häufige σύντομος (c. 121) und τὰ σύντομα ὁδοῦ compendia itineris (IV 136). Vgl. auch c. 124 τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ.

14. Καναστραῖον ἄκρ., heiszt auch Κάναστρον (h. Cap Paliuri).

15. Ποτιδαίης. Potidaia, eine

καὶ Σκιώνης καὶ Μένδης καὶ Σάνης. αὗται γάρ εἰσι αἱ τὴν νῦν Παλλήνην, πρότερον δὲ Φλέγρην καλεομένην νεμόμεναι. παραπλώων δὲ καὶ ταύτην τὴν χώρην ἔπλωε ἐς τὸ προειρημένον, παραλαμβάνων στρατιὴν καὶ ἐκ τῶν προσεχέων πολίων τῇ Παλλήνῃ, ὁμουρεουσέων δὲ τῷ Θερμαίῳ κόλπῳ, τῇσι οὐνόματά ἐστι τάδε, Λίπαξος, Κώμβρεια, Λίσαι, Γίγωνος, Κάμψα, Σμίλα, Αἴνεια. ἡ δὲ τούτων χώρη Κροσσαίη ἔτι καὶ ἐς τόδε καλέεται. ἀπὸ δὲ Αἰνείης, ἐς τὴν ἐτελεύτεον καταλέγων τὰς πόλις, ἀπὸ ταύτης ἤδη ἐς αὐτόν τε τὸν Θερμαῖον κόλπον ἐγίνετο τῷ ναυτικῷ στρατῷ ὁ πλόος καὶ γῆν τὴν Μυγδονίην, πλώων δὲ ἀπίκετο ἔς τε τὴν προειρημένην Θέρμην καὶ Σινδόν τε πόλιν καὶ Χαλέστρην ἐπὶ τὸν Ἄξιον ποταμόν, ὃς οὐρίζει χώρην τὴν Μυγδονίην τε καὶ Βοττιαιίδα, τῆς ἔχουσι τὸ παρὰ θάλασσαν στεινὸν χωρίον πόλιες Ἴχναι τε καὶ Πέλλα.

Colonie der Korinthier. Vgl. VIII 126. — Die im folgenden erwähnten Städte sind sämmtlich auf der Halbinsel Pallene zu suchen. Aphytis erwähnt auch Thuk. I 64. Neapolis und Aege werden sonst wenig genannt. Therambos heiszt sonst wol auch *Θράμβος* oder *Θράμβους*. Skione war (nächst Potidaia) die bedeutendste Stadt der pallenischen Halbinsel. Vgl. VIII 128. Thuk. IV 120. Mende (nördlich von Skione) war eine Colonie der Eretrier. Sane ist von der gleichnamigen, c. 22 erwähnten Stadt zu unterscheiden.

2. *Φλέγρην.* Der Name *Φλέγρα* „Feuerland“ deutet auf die vulkanische Bodenbeschaffenheit der Halbinsel, weshalb hier auch die Giganten mit Felsblöcken den Himmel gestürmt haben sollten. Zum Namen vergleiche die phlegraeischen Felder (*τὰ Φλεγραῖα πεδία*) in dem vulkanischen Küstenstrich Campaniens.

3. *ἐς τὸ προειρημένον*, nach Therme. Vgl. unten *ἐς τὴν προειρημένην Θέρμην.*

4. *προσεχής* finitimus, auch IX 28. 102 (*προσεχέας δέ σφι εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας*).

6. *Λίπαξος.* Die im Folgenden genannten Städte sind wenig bekannt. Gigon erwähnt Thuk. I 61.

7. *Κροσσαίη* heiszt bei Thuk. II 79 und Steph. Byz. *Κροῦσις γῆ.*

10. *γῆν τὴν Μυγδονίην.* Die makedonische Landschaft Mygdonia reichte vom Axios bis zum See Bolbe (Thuk. I 56).

11. *Σινδός* lag an der Mündung des Echedoros, *Χαλέστρη* an der des Axios.

14. *Βοττιαιίδα.* Die Landschaft *Βοττιαία*, Bottiaia (vgl. c. 185 VIII 127) lag westlich am rechten Ufer des unteren Axios (Thuk. II 99. 100). Die Einwohner derselben (*Βοττιαῖοι*) waren durch die Makedoner aus ihren Sitzen vertrieben und in die Chalkidike und in die Gegenden oberhalb Pallene zurückgedrängt. Die dort von ihnen eingenommenen Sitze nennt Thuk. I 65. II 79 *Βοττική.*

15. *Ἴχναι.* Ichnae lag an dem schmalen Streifen, mit welchem Bottiaia bis ans Meer reichte und der auf der einen Seite durch den Axios, auf der anderen durch die vereinigten Mündungen des Lydias und Haliakmon begrenzt war (c. 127). — Pella, eine alte Stadt der Bottiaier und spätere Residenz der makedonischen Könige (seit Phi-

Ὁ μὲν δὴ ναυτικὸς στρατὸς αὐτοῦ περὶ Ἀξιὸν ποταμὸν 124
καὶ πόλιν Θέρμην καὶ τὰς μεταξὺ πόλις τούτων περιμένων
βασιλέα ἐστρατοπεδεύετο, Ξέρξης δὲ καὶ ὁ πεζὸς στρατὸς ἐπο-
ρεύετο ἐκ τῆς Ἀκάνθου τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ, βου-
λόμενος ἐς τὴν Θέρμην ἀπικέσθαι. ἐπορεύετο δὲ διὰ τῆς Παιο-
νικῆς καὶ Κρηστωνικῆς ἐπὶ ποταμὸν Ἐχείδωρον, ὃς ἐκ Κρη-
στωναίων ἀρξάμενος ῥέει διὰ Μυγδονίης χώρης καὶ ἐξίει παρὰ
τὸ ἕλος τὸ ἐπ' Ἀξιῷ ποταμῷ. Πορευομένῳ δὲ ταύτῃ λέοντές 125
οἱ ἐπεθήκαντο τῇσι σιτοφόροισι καμήλοισι. καταφοιτέοντες
γὰρ οἱ λέοντες τὰς νύκτας καὶ λείποντες τὰ σφέτερα ἤθεα ἄλ-
λου μὲν οὐδενὸς ἅπτοντο οὔτε ὑποζυγίου οὔτε ἀνθρώπου, οἱ
δὲ τὰς καμήλους ἐκεράϊζον μούνας. θωμάζω δὲ τὸ αἴτιον, ὅ
τι κοτὲ ἦν, τῶν ἄλλων τὸ ἀναγκάζον ἀπεχομένους τοὺς λέον-
τας τῇσι καμήλοισι ἐπιτίθεσθαι, τὸ μήτε πρότερον ὀπώπεσαν
θηρίον μήτ' ἐπεπειρέατο αὐτοῦ. Εἰσὶ δὲ κατὰ ταῦτα τὰ χω- 126

lipp II.), lag am Lydias (etwa 120 Stadien von seiner Mündung). Vgl. VIII 124.

124. 1. *αὐτοῦ*, Ξέρξεω.

2. *τὰς μεταξὺ πόλις τούτων*, die im vorigen Capitel erwähnten. — Beachte die Stellung von *τούτων*.

4. *τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ*. Dieselbe Verbindung IX 89 *τῆς ὁδοῦ* hängt von *τὴν μεσόγαιαν* ab und *ἡ μεσόγαια τῆς ὁδοῦ* ist gesagt wie *τὰ σύντομα τῆς ὁδοῦ* (s. z. c. 123), da man sowol *τάμνειν τὴν μέσην ὁδόν* als *τὴν μέσην γῆν* (= *μεσόγαιαν*) in der Bedeutung gebrauchte: den kürzesten, geradesten Weg einschlagen (eig. = einen Weg einschlagen, der mitten durch das Land führt). So c. 121 *ἤιε τὴν μεσόγαιαν*. Wie hier und IX 89 *τὴν μεσόγαιαν τάμνειν τῆς ὁδοῦ* gesagt ist, so steht IV 13 *ἐς μεσόγαιαν τῆς ὁδοῦ τρέπεσθαι*.

5. *διὰ τῆς Παιονικῆς*. Ueber die Sitze der Paioner vgl. z. c. 113. Hier ist das Gebiet der Siropaioner am rechten Ufer des Strymon oberhalb des Prasiassee's gemeint (V 15. VIII 115). Ihnen benachbart wohnten die (pelasgischen) Krestonaier zwischen Axios und Strymon an den Quellen des Echeidoros (j. Galliko). Vgl. über sie I 57. VIII 116. Uebrigens war der Weg, den Xerxes einschlug, nicht der nächste, der vielmehr quer durch Chalkidike und die Krossaia nach Therma führte. Der hier angegebene Umweg erklärt sich wol dadurch, dasz Herodot hier den gröszten Bogen bezeichnet, den der am weitesten vorgeschobene Flügel der Heersäule beschrieb.

7. *διὰ Μυγδονίης χώρης*. S. z. c. 123.

125. 9. *οἱ ἐπεθήκαντο τῇσι σιτοφόροισι καμήλοισι*. Ueber das possessive *οἱ* s. z. c. 16 Anf.

10. *τὰς νύκτας*. Derselbe temporale Accusativ c. 181 (*ταύτην τὴν ἡμέρην*).

ἤθεα. S. z. c. 11.

11. *οἱ δέ*. S. z. c. 6 (*ὁ δέ*).

13. *τῶν ἄλλων* hängt von *ἀπεχομένους* ab, ist aber, um den Gegensatz zu *τῇσι καμήλοισι* stärker hervorzuheben, an die Spitze getreten.

15. *αὐτοῦ*. Hier wie häufig ist, um die Wiederholung des Relativs im zweiten Gliede zu vermeiden, welches einen anderen Casus des Relativs erfordern würde, das demonstrative (determinative) Pronomen gesetzt. Vgl. II 40 *τὴν δ' ὧν μεγίστην τε δαίμονα ἡγέαται*

ρία καὶ λέοντες πολλοὶ καὶ βόες ἄγριοι, τῶν τὰ κέρεα ὑπερμε-
γάθεά ἐστι τὰ ἐς Ἕλληνας φοιτέοντα. οὖρος δὲ τοῖσι λέουσί
ἐστι ὅ τε δι' Ἀβδήρων ῥέων ποταμὸς Νέστος καὶ ὁ δι' Ἀκαρ-
νανίης ῥέων Ἀχελῷος. οὔτε γὰρ τὸ πρὸς τὴν ἠῶ τοῦ Νέστου
οὐδαμόθι πάσης τῆς ἔμπροσθε Εὐρώπης ἴδοι τις ἂν λέοντα,
οὔτε πρὸς ἑσπέρης τοῦ Ἀχελῴου ἐν τῇ ἐπιλοίπῳ ἠπείρῳ, ἀλλ'
127 ἐν τῇ μεταξὺ τούτων τῶν ποταμῶν γίνονται. Ὡς δὲ ἐς τὴν
Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε αὐτοῦ τὴν στρατιήν. ἐπέσχε
δὲ ὁ στρατὸς αὐτοῦ στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν
χώρην τοσήνδε, ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδο-
νίης μέχρι Λυδίεώ τε ποταμοῦ καὶ Ἁλιάκμονος, οἳ οὐρίζουσι
γῆν τὴν Βοττιαιίδα τε καὶ Μακεδονίδα, ἐς τὠυτὸ ῥέεθρον τὸ
ὕδωρ συμμίσγοντες. ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι
τοῖσι χωρίοισι οἱ βάρβαροι, τῶν δὲ καταλεχθέντων τούτων πο-
ταμῶν ἐκ Κρηστωναίης ῥέων Ἐχείδωρος μοῦνος οὐκ ἀντέχρησε
τῇ στρατιῇ πινόμενος, ἀλλ' ἐπέλιπε.
128 Ξέρξης δὲ ὁρέων ἐκ τῆς Θέρμης οὔρεα τὰ Θεσσαλικά, τόν

εἶναι καὶ μεγίστην οἱ ὁρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων.

126. 1. *βόες ἄγριοι*, vermutlich sind Auerochsen gemeint. Vgl. IX 51.

2. *φοιτέοντα*. *φοιτᾶν* von Handelsartikeln auch III 115 *ἐξ ἐσχάτης Εὐρώπης ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον.*

οὖρος att. *ὁ ὅρος*.

3. *Νέστος*. S. z. c. 109.

4. *τὸ πρὸς τὴν ἠῶ*. Ueber diesen adverbialen Accusativ s. z. c. 20 (*τὸ πρὸς μεσαμβρίης*).

5. *τῆς ἔμπροσθε Εὐρώπης*, von ganz Vordereuropa, soweit es östlich vom Nestos vor demselben ausgestreckt liegt.

6. *πρὸς ἑσπέρης*. Ueber *πρός* mit dem seltenen Genetiv (statt des Accusativ) s. z. c. 20.

Lager bei Therma. Eintritt in Thessalien. Oertliche Beschaffenheit Thessaliens. Peneios. Tempe (c. 127—131).

127. 8. *ἐπέσχε*. Ueber die Bedeutung von *ἐπέχειν* s. z. c. 19.

11. *Λυδίεω*. Der *Λυδίας* oder *Λουδίας*, Lydias oder Ludias (j. Karasmak oder Mavroneri) vereinigt sich heute nicht mehr mit dem Haliakmon (j. Vistrizza), sondern ergieszt sich in den Axios (j. Vardar) kurz vor dessen Mündung; es hat also der Lydias im Laufe der Zeit, wahrscheinlich in Folge der durch Alluvionen veränderten Küste, eine im Vergleich zu seinem früheren Lauf mehr östliche Richtung genommen.

οἳ οὐρίζουσι γῆν τ. Β. τ. κ. Μ. nämlich da, wo sie sich miteinander vereinigen; oberhalb ihrer Vereinigung bildete der Lydias allein die Grenze.

12. *τὴν Βοττιαιίδα*. S. z. c. 123.

Μακεδονίδα. *ἡ Μακεδονίς* (*γῆ*) ist hier im engeren Sinne zu nehmen und bezeichnet daher nur das ursprüngliche Stammland der Makedoner, d. h. die Ebene zwischen Haliakmon und Axios mit der Hauptstadt Edessa (Aegae). Vgl. VIII 138. Einen anderen Umfang hatte *ἡ Μακεδονίη* (V 17).

15. *Ἐχείδωρος* j. Galliko (vgl. c. 124).

ἀντέχρησε. Dafür c. 43 *ἀπέ-*

τε Οὔλυμπον καὶ τὴν Ὄσσαν, μεγάθεΐ τε ὑπερμήκεα ἐόντα, διὰ μέσου τε αὐτῶν αὐλῶνα στεινὸν πυνθανόμενος εἶναι, δι᾽ οὗ ῥέει ὁ Πηνειὸς, ἀκούων τε εἶναι ταύτῃ ὁδὸν ἐς Θεσσαλίην φέρουσαν, ἐπεθύμησε πλώσας θηήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ὅτι τὴν ἄνω ὁδὸν ἔμελλε ἐλᾶν διὰ Μακεδόνων τῶν κατύπερθε οἰκημένων ἐς Περραιβοὺς παρὰ Γόννον πόλιν· ταύτῃ γὰρ ἀσφαλέστατον ἐπυνθάνετο εἶναι. ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα· ἐσβὰς ἐς Σιδωνίην νέα, ἐς τήνπερ ἐσέβαινε αἰεὶ, ὅκως τι ἐθέλοι τοιοῦτο ποιῆσαι, ἀνέδεξε σημήϊον καὶ τοῖσι ἄλλοισι ἀνάγεσθαι, καταλιπὼν αὐτοῦ τὸν πεζὸν στρατόν. ἐπεὶ δὲ ἀπίκετο καὶ ἐθηήσατο Ξέρξης τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ἐν θώματι μεγάλῳ ἐνέσχετο, καλέσας δὲ τοὺς κατηγεμόνας τῆς ὁδοῦ εἴρετο, εἰ τὸν ποταμὸν ἔστι παρατρέψαντα

χρησε, c. 58 ἀντέσχε. Vgl. c. 196. Wie hier c. 187.

128. 2. *αὐλῶνα στεινόν*, den Tempepasz. Näheres über denselben s. z. c. 173 (ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολὴν, ἥπερ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ Πηνειὸν ποταμὸν, μεταξὺ δὲ Οὐλύμπου οὔρεος ἐόντα καὶ τῆς Ὄσσης). Auszer dieser beschwerlichen Strasze, welche eingeengt durch schroffe Bergabhänge und den reiszenden Peneiosstrom an manchen Stellen kaum breit genug für einen Wagen war, führte vom unteren Makedonien nach Thessalien hinein noch ein anderer Weg, welchen Xerxes mit einer Abteilung seines Heeres eingeschlagen zu haben scheint (c. 131). Dieser Weg führte durch die Einsenkung zwischen dem westlichen Olymp und den pierischen Bergen hindurch (Pass von Petra), zog sich darauf an steilen Bergwänden vorbei über schroffe Höhen und bewaldete Kuppen (c. 131) in das Tal des Europos (oder Titaresios), eines Nebenflusses des Peneios, herab, lief von da durch das Gebiet der Perrhaeber und mündete endlich bei der thessalischen Stadt Gonnos, welche vor dem inneren thessalischen Eingange des Tempepasses lag. — Ausser dieser Strasze benutzte eine andere Abteilung des ungeheuren Heeres zum Uebergang von Makedonien nach Thessalien einen viel weiter westlich gelegenen Weg, welcher gleich im folgenden ἡ ἄνω ὁδός genannt ist. Er führte vom oberen Makedonien aus durch die Landschaft Elimeia hindurch (= διὰ Μακεδόνων τῶν κατύπερθε κατοικημένων) am linken Ufer des Haliakmon hinauf, überschritt alsdann den tiefen Einschnitt der kambunischen Berge (Pass von Volustăna, j. Volutza) und lief dann ebenfalls in das Europostal herab, von wo auch er durch das Gebiet der Perrhaeber hindurch nach Gonnos führte. Wahrscheinlich ist dies dieselbe Strasze, welche später in den römisch-makedonischen Kriegen öfter erwähnt wird. Vgl. Liv. XLII 53.

8. *καὶ ἐποίεε*. καί wie hier im Nachsatze auch I 79, ὡς δέ οἱ ταῦτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος.

Σιδωνίην. S. z. c. 100.

10. *ἀνάγεσθαι* in altum evehi. Vgl. VIII 84 ἀναγομένοισι δέ σφι ἐπεκέατο οἱ βάρβαροι.

αὐτοῦ, ἐν Θέρμῃ.

12. *ἐν θώματι — ἐνέσχετο*. Die Wendung ἐν θώματι ἐνέχεσθαι auch VIII 135. IX 37. Die passive Bedeutung des Aor. II med. ist nicht ungewöhnlich. Vgl. I 31 ἐν τέλεϊ τούτῳ ἔσχοντο.

13. *εἴρετο*. Die Antwort c. 130. *ἔστι* = ἔξεστι. Vgl. c. 10.

129 ἑτέρῃ ἐς θάλασσαν ἐξαγαγεῖν. Τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν εἶναι λίμνην, ὥστε γε συγκεκληϊμένην πάντοθεν ὑπερμήκεσι οὔρεσι. τὰ μὲν γὰρ αὐτῆς πρὸς τὴν ἠῶ ἔχοντα τό τε Πήλιον οὖρος καὶ ἡ Ὄσσα ἀποκληΐει συμμίσγοντα τὰς ὑπωρέας ἀλλήλοισι, τὰ δὲ πρὸς βορέεω ἀνέμου Οὔλυμπος, τὰ δὲ πρὸς ἑσπέρην Πίνδος, τὰ δὲ πρὸς μεσαμβρίην τε καὶ ἄνεμον νότον ἡ Ὄθρυς, τὸ μέσον δὲ τούτων τῶν λεχθέντων οὐρέων ἡ Θεσσαλίη ἐστὶ ἐοῦσα κοίλη. ὥστε ὦν ποταμῶν ἐς αὐτὴν καὶ ἄλλων συχνῶν ἐσβαλλόντων, πέντε δὲ τῶν δοκίμων μάλιστα τῶνδε, Πηνειοῦ καὶ Ἠπιδανοῦ καὶ Ὀνοχώνου καὶ Ἐνιπέος καὶ Παμίσου, οἱ μέν νυν ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν οὐρέων τῶν περικληϊόντων τὴν Θεσσαλίην οὐνομαζόμενοι δι' ἑνὸς αὐλῶνος καὶ τούτου στεινοῦ ἔκροον ἔχουσι ἐς θάλασσαν, προσυμμίσγοντες τὸ ὕδωρ πάντες ἐς τὠυτό. ἐπεὰν δὲ συμμιχθέωσι τάχιστα, ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων ἀνωνύμους τοὺς ἄλλους ποιέει εἶναι. τὸ δὲ παλαιὸν

1. *ἑτέρῃ*=*τῇ ἄλλῃ*, anderswohin. S. z. c. 25.

129. 2. *εἶναι.* Infin. imperf.

ὥστε—συγκεκληϊμένην. Ueber *ὥστε* cum partic. s. z. c. 6.

3. *τὰ μὲν—πρὸς τὴν ἠῶ ἔχοντα.* Das intransitive *ἔχειν* (= *φέρειν, τείνειν*) findet sich in diesem Sinne sehr häufig. Vgl. c. 201 *τὰ μὲν πρὸς βορέην.*

ἔχοντα, τὰ δὲ πρὸς νότον φέροντα.

5. *πρὸς βορέεω.* Ueber *πρός* cum genet. s. z. c. 20.

6. *πρὸς μεσαμβρίην τε καὶ ἄνεμον νότον* auch c. 201. Ueber die Abundanz s. z. c. 58.

8. *ἐστὶ ἐοῦσα. ἐοῦσα* neben *ἐστί* auch III 108. Aehnlich unten c. 73. 176. Vgl. II 8 *ὅσον τε ἡμερέων τεσσέρων ἀναπλόον στεινή ἐστι Αἴγυπτος ἐοῦσα.*

ὥστε (= *ἅτε*) cum partic. wie oben. S. z. c. 6.

10. *Πηνειοῦ*, des gröszten von allen. — Der Epidanos (s. c. 196) und Onochonos bilden nach ihrer Vereinigung den Enipeus, welcher sich in den Peneios ergieszt. Der Pamisos ist einer der kleineren linken Zuflüsse des Peneios; bedeutender ist der von Herodot nicht erwähnte rechte Nebenfluss des Peneios, Europos (oder Titaresios).

11. *οἱ μέν νυν* erneuert das Gedankensubject *πέντε οἱ δόκιμοι μάλιστα οἵδε*, welches grammatisch an das absolute Satzglied *ὥστε — ἐσβαλλόντων* angeschlossen ist. Aehnlich c. 144 (*Ἀθηναίοισι γενομένων χρημάτων*). — *μέν νυν* ist ähnlich epanaleptisch gebraucht I 85.

12. *οὐνομαζόμενοι* „mit ihren eigenen Namen". Vor ihrer Vereinigung mit dem Peneios führen die genannten Flüsse ihren eigenen Namen; aber nach ihrer Vereinigung macht sie der Peneios namenlos (*ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων ἀνωνύμους τοὺς ἄλλους ποιέει εἶναι*).

δι' ἑνὸς αὐλῶνος durch die enge Talschlucht von Tempe.

13. *καὶ τούτου* und zwar. *καὶ οὗτος* (=isque) steht in gleicher Bedeutung I 147. VI 11 unt. c. 151.

14. *ἐπεὰν—τάχιστα.* S. z. c. 28.

15. *κατακρατέειν* absolut wie c. 168.

16. *ἀνωνύμους—ποιέει εἶναι.* Zum Infin. vgl. I 210 *σὺ ἀντὶ μὲν δούλων ἐποίησας ἐλευθέρους Πέρσας εἶναι.* Ohne *εἶναι* gleich im Folgenden (*ῥέοντας δὲ ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος*).

τὸ παλαιόν wie ob. c. 59. 89.

λέγεται οὐκ ἐόντος κω τοῦ αὐλῶνος καὶ διεκρόου τούτου τοὺς ποταμοὺς τούτους, καὶ πρὸς τοῖσι ποταμοῖσι τούτοισι τὴν Βοιβηΐδα λίμνην οὔτε οὐνομάζεσθαι κατάπερ νῦν, ῥέειν τε οὐδὲν ἔσσον ἢ νῦν, ῥέοντας δὲ ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος. Αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα, δι' οὗ ῥέει ὁ Πηνειός, οἰκότα λέγοντες. ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν καὶ τὰ διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, καὶ ἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι. ἔστι γὰρ σεισμοῦ ἔργον, ὡς ἐμοὶ ἐφαίνετο εἶναι, ἡ διάστασις τῶν οὐρέων.

Οἱ δὲ κατηγεόμενοι εἰρομένου Ξέρξεω, εἰ ἔστι ἄλλη ἔξοδος 130
ἐς θάλασσαν τῷ Πηνειῷ, ἐξεπιστάμενοι ἀτρεκέως εἶπον· Βασιλεῦ, ποταμῷ τούτῳ οὐκ ἔστι ἄλλη ἐξήλυσις ἐς θάλασσαν κατήκουσα, ἀλλ' ἥδε αὐτή· οὔρεσι γὰρ περιεστεφάνωται πᾶσα Θεσσαλίη. Ξέρξην δὲ λέγεται εἰπεῖν πρὸς ταῦτα· Σοφοὶ ἄνδρες εἰσὶ Θεσσαλοί. ταῦτ' ἄρα πρὸ πολλοῦ ἐφυλάξαντο γνω-

2. *Βοιβηΐδα λίμνην* j. Karlassee. Er hängt durch eine Sumpffläche mit dem See Nesonis (j. Karatjar od. Mavralimni) zusammen.

3. *οὔτε οὐναμάζεσθαι κατάπερ νῦν*, weil ganz Thessalien eine zusammenhängende Wassermasse bildet. Vgl. ob. *τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν εἶναι λίμνην, ὥστε γε συγκεκληϊμένην πάντοθεν ὑπερμήκεσι οὔρεσι.*

τε nach *οὔτε*, wie c. 8.

6. *οἰκότα λέγοντες. οἰκός* in gleicher Bedeutung c. 167. 193.

7. *σείειν.* Daher hiesz Poseidon in Thessalien *Πετραῖος* „Felsenzertrümmerer", denn nach der Sage sollte er, als der Peneios das Land überschwemmte, mit seinem Dreizack das Tempetal eröffnet haben, um dem Strome einen Abfluss zu verschaffen. Vgl. seine Beinamen *ἐννοσίγαιος, ἐνοσίχθων, κινάκτωρ γαίας.*

τὰ διεστεῶτα, dafür unten *ἡ διάστασις (τῶν οὐρέων).*

9. *ἐφαίνετο*, als Herodot an Ort und Stelle war.

130. 11. *κατηγέεσθαι*, Führer sein, auch c. 215. Aehnlich c. 183; anders oben c. 8.

13. *ἐξήλυσις* (= *ἔξοδος*) ein nur bei Herodot vorkommendes Wort. Wie hier III 117.

τὴν γνώμην πέμπει τῶν τινας δορυφόρων, ἐντειλάμενος, ἢν
καταλάβωσι τοὺς κατασκόπους ζώοντας, ἄγειν παρ' ἑωυτόν.
ὡς δὲ ἔτι περιεόντας αὐτοὺς κατέλαβον καὶ ἦγον ἐς ὄψιν τὴν
βασιλέος, τὸ ἐνθεῦτεν πυθόμενος ἐπ' οἷσι ἦλθον, ἐκέλευσέ
σφεας τοὺς δορυφόρους περιάγοντας ἐπιδείκνυσθαι πάντα τε
τὸν πεζὸν στρατὸν καὶ τὴν ἵππον, ἐπεὰν δὲ ταῦτα θηεύμενοι
ἔωσι πλήρεες, ἀποπέμπειν ἐς τὴν ἂν αὐτοὶ ἐθέλωσι χώρην ἀσι-*

eig. zusammenstecken, unter einer Decke stecken III 82, hier ohne tadelnden Nebenbegriff = gemeinsame Sache machen.

2. *οὐδαμῶν — μέζω*, nullis non Graecanicis rebus longe maiores esse praedicabantur res Gelonis. — *οὐδαμῶν* (= *οὐδενῶν*) — *τῶν οὐ* vom Nominativ *οὐδαμὰ ἃ οὐ*, eine Verbindung, die hier in gleicher Bedeutung, wie die bekanntere *οὐδεὶς ὅστις οὐ* (= *ἕκαστός τις*) gebraucht ist. Wie diese Formel sprachlich zu einem Begriff verschmolzen ist, indem *οὐδείς* wider die eigentliche Construction stets den Casus des Relativus annimmt, so ist auch an unserer Stelle der von *μέζω* abhängige Genetiv *οὐδαμῶν τῶν οὐ* als ein Begriff (= *πάντων τινῶν*) zu fassen; ebenso ist *οὐδαμῶν* im Casus dem folgenden Relativ (*τῶν*) assimiliert, wie dies bei *οὐδείς* in der Formel *οὐδεὶς ὅστις οὐ* regelmäszig der Fall ist. Nach der streng grammatischen Construction würden wir erwarten müssen: *οὐδαμά* (erg. *πρήγματά ἐστι*) *Ἑλληνικὰ τῶν οὐ πολλὸν μέζω*. Dieselbe Assimilatio inversa, welche bei *οὐδεὶς ὅστις οὐ* regelmäszig eintritt, findet sich auch bei *ἄλλος ὅστις* (s. z. V 88). — Da sonst auch Herodot in der Verbindung *οὐδεὶς ὅστις οὐ* stets *ὅστις* (nicht *ὅς*) gebraucht (III 72. V 97), erwarteten wir an unserer Stelle *ὅτεων* für *τῶν*. Doch vgl. Soph. Oed. tyr. 373 *οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα*.

146. 6. *ἐπάϊστοι* erg. *καταμαθόντες τὴν βασιλέος στρατιήν*. Vgl. VIII 128 *ἐπάϊστος ἐγίνετο προδιδοὺς τὴν πόλιν*.

8. *τοῖσι — κατακέκριτο θάνατος*. *κατακρίνεσθαι* mit Dativ verbunden auch II 133 *κατακεκριμένον ἦν αὐτῷ τελευτῆσαι ταχέως τὸν βίον*.

10. *τῶν τινας*. Ueber die Stellung von *τὶς* s. z. c. 143.

13. *τὸ ἐνθεῦτεν* hat ursprünglich locale Bedeutung (= von dort an); doch wird es öfter auch in temporaler Bedeutung gebraucht (= darauf).

ἐπ' οἷσι. *ἐπί* c. dat. zur Bezeichnung des Zwecks und der Absicht. Ganz wie hier III 48 *πυθόμενοι οἱ Σάμιοι, ἐπ' οἷσι ἀγοίατο ἐς Σάρδις*.

14. *σφεας* abhängig von *περιάγοντας*. — Einen unserer Erzählung vollkommen ähnlichen Vorfall

νέας. Ἐπιλέγων δὲ τὸν λόγον τόνδε ταῦτα ἐνετέλλετο, ὡς εἰ 147
*μὲν ἀπώλοντο οἱ κατάσκοποι, οὔτε ἂν τὰ ἑωυτοῦ πρήγματα
προεπύθοντο οἱ Ἕλληνες ἐόντα λόγου μέζω, οὔτ' ἄν τι τοὺς
πολεμίους μέγα ἐσίναντο ἄνδρας τρεῖς ἀπολέσαντες· νοστη-
σάντων δὲ τούτων ἐς τὴν Ἑλλάδα δοκέειν ἔφη ἀκούσαντας
τοὺς Ἕλληνας τὰ ἑωυτοῦ πρήγματα πρὸ τοῦ στόλου τοῦ γινο-
μένου παραδώσειν σφέας τὴν ἰδίην ἐλευθερίην, καὶ οὕτω οὐδὲ
δεήσειν ἐπ' αὐτοὺς στρατηλατέοντας πρήγματα ἔχειν. οἶκε δὲ
αὐτοῦ αὕτη ἡ γνώμη τῇδε ἄλλῃ· ἐὼν γὰρ ἐν Ἀβύδῳ ὁ Ξέρξης
εἶδε πλοῖα ἐκ τοῦ Πόντου σιταγωγὰ διεκπλώοντα τὸν Ἑλλή-
σποντον, ἔς τε Αἴγιναν καὶ Πελοπόννησον κομιζόμενα. οἱ μὲν
δὴ πάρεδροι αὐτοῦ ὡς ἐπύθοντο πολέμια εἶναι τὰ πλοῖα, ἑτοῖ-
μοι ἦσαν αἱρέειν αὐτά, ἐσβλέποντες ἐς τὸν βασιλέα, ὁκότε παρ-
αγγελέει, ὁ δὲ Ξέρξης εἴρετο αὐτούς, ὅκοι πλώοιεν· οἱ δὲ εἶ-
παν· Ἐς τοὺς σοὺς πολεμίους, ὦ δέσποτα, σῖτον ἄγοντες. Ὁ
δὲ ὑπολαβὼν ἔφη· Οὐκ ὦν καὶ ἡμεῖς ἐκεῖ πλώομεν, ἔνθαπερ
καὶ οὗτοι, τοῖσί τε ἄλλοισι ἐξηρτυμένοι καὶ σίτῳ; τί δῆτα ἀδι-
κέουσι οὗτοι ἡμῖν σιτία παρακομίζοντες;*

Οἱ μέν νυν κατάσκοποι οὕτω θηησάμενοί τε καὶ ἀποπεμ- 148
*φθέντες ἐνόστησαν ἐς τὴν Εὐρώπην, οἱ δὲ συνωμόται Ἑλλή-
νων ἐπὶ τῷ Πέρσῃ μετὰ τὴν ἀπόπεμψιν τῶν κατασκόπων δεύ-
τερα ἔπεμπον ἐς Ἄργος ἀγγέλους. Ἀργεῖοι δὲ λέγουσι τὰ κατ'*

berichten Livius XXX 29 u. Polyb. XV 5 vom Scipio, welcher an gefangenen Kundschaftern des Hannibal dieselbe Groszmut übte.

147. 1. *ἐπιλέγων*. Beachte *ἐπί*. Wie hier V 4. 70.

3. *λόγου μέζω* = *μέζω ἢ ὥστε λέγειν*. Wie hier II 35.

4. *μέγα*. *οὐ μέγα* = *μηδέν* (VI 97). — Bei *ἐσίναντο* (VIII 31) ist der Subjectswechsel zu beachten.

6. *πρὸ τοῦ στόλου τοῦ γινομένου*. *ὁ στόλος γινόμενος* ist ein Heereszug, der sich in Bewegung zu setzen im Begriff ist.

7. *παραδώσειν τὴν ἐλευθερίην* Auch IX 41. — *σφέας*. Der Deutlichkeit halber ist der Subjectsaccusativ *Ἕλληνας* mit *σφέας* wiederholt. Genau so VI 46 *ὁ Δαρεῖος πρῶτα μὲν Θασίους διαβληθέντας ὑπὸ τῶν ἀστυγειτόνων, ὡς ἀπόστασιν μηχανῷατο, πέμψας ἄγγελον ἐκέλευέ σφεας τὸ τεῖχος περιαιρέειν*. Vgl. c. 167 und 197, wo *οἱ* das vorausgegangene *Ξέρξη* wiederholt.

8. *πρήγματα ἔχειν* in gleicher Bedeutung I 155.

10. *ἐκ τοῦ Πόντου*. Von den kornreichen Küstenstrichen des Pontos, namentlich von der taurischen Halbinsel, bezogen die Griechen einen groszen Teil ihres Getreidebedarfs.

14. *αὐτούς*, die Schiffer.

Gesandte der hellenischen Bundesgenossen in Argos; sie kehren unverrichteter Sache zurück. Herodots Urteil über Argos (c. 148—152).

148. 20. *οἱ συνωμόται*, Eidgenossen, verbinde mit *ἐπὶ τῷ Πέρσῃ*. S. c. 132. Zum Ausdruck

ἑωυτοὺς γενέσθαι ὧδε· πυθέσθαι γὰρ αὐτίκα κατ' ἀρχὰς τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα ἐπὶ τὴν Ἑλλάδα, πυθόμενοι δὲ καὶ μαθόντες, ὥς σφεας οἱ Ἕλληνες πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν Πέρσην, πέμψαι θεοπρόπους ἐς Δελφοὺς τὸν θεὸν ἐπειρησομένους, ὥς σφι μέλλει ἄριστον ποιεῦσι γενέσθαι· νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχιλίους ὑπὸ Λακεδαιμονίων καὶ Κλεομένεος τοῦ Ἀναξανδρίδεω, τῶν δὴ εἵνεκεν πέμπειν. τὴν δὲ Πυθίην ἐπειρωτέουσι αὐτοῖσι ἀνελεῖν τάδε

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσι,
Εἴσω τὸν προβόλαιον ἔχων πεφυλαγμένος ἧσο,
Καὶ κεφαλὴν πεφύλαξο· κάρη δὲ τὸ σῶμα σαώσει.

Ταῦτα μὲν τὴν Πυθίην χρῆσαι πρότερον, μετὰ δὲ ὡς ἐλθεῖν τοὺς ἀγγέλους ἐς δὴ τὸ Ἄργος, ἐπελθεῖν ἐπὶ τὸ βουλευτήριον καὶ λέγειν τὰ ἐντεταλμένα. τοὺς δὲ πρὸς τὰ λεγόμενα ὑποκρίνασθαι, ὡς ἕτοιμοί εἰσι Ἀργεῖοι ποιέειν ταῦτα τριήκοντα ἔτεα εἰρήνην σπεισάμενοι Λακεδαιμονίοισι καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης· καίτοι κατά γε τὸ δίκαιον γίνε-

vgl. c. 235 συνωμοσάντων ἐπὶ σοί. — ἐπί c. dativo in gleicher Bedeutung c. 132.

1. πυθέσθαι γάρ. Ueber γάρ im vorgeschobenen Satze s. z. c. 44. Hier begründet γάρ erst den weiter unten folgenden Satz πέμψαι θεοπρόπους ἐς Δελφούς, in welchem das ὧδε (s. o.) näher ausgeführt wird. Der vorausgeschickte Satz πυθέσθαι τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα dient zur Vorbereitung des Folgenden.

κατ' ἀρχάς mit αὐτίκα verbunden wie c. 88.

2. ἐγειρόμενα. ἐγείρεσθαι in gleicher Bedeutung c. 220. VIII 142.

3. πειρήσονται παραλαμβάνοντες. πειρᾶσθαι mit Particip wie c. 139.

5. ὡς verb. mit ποιεῦσι.

6. νεωστί. 493 v. Chr. Den näheren Hergang erzählt Herodot VI 77. 78.

7. τῶν δὴ εἵνεκεν πέμπειν „dieses Vorgangs wegen hätten sie zum Orakel geschickt". Als Grund ihrer Anfrage beim Orakel gaben die Argeier den hellenischen Abgesandten an, dasz es ihnen gefährlich erschienen sei, sich nach der schweren Niederlage, welche sie erst neulich durch die Spartaner erlitten hätten, in einen neuen Krieg einzulassen. In ihrem Bedenken seien sie durch die Antwort des Orakels bestärkt, da es ihnen offenbar Neutralität angeraten habe.

10. εἴσω — ἔχων „mit eingezogenem Speer". εἴσω eig. nach innen gekehrt. Dies deuteten die Argeier dahin, dasz sie sich des Angreifens enthalten sollten. — προβόλαιον, Nebenform von πρόβολος (c. 76).

11. κεφαλήν ist wol von der Burg zu verstehen, ebenso im folgenden κάρη; auch diesen Vers legten die Argeier dahin aus, dasz ihnen das Orakel gebiete, sich auf die Defensive zu beschränken.

13. ἐς δὴ τὸ Ἄργος nach dem eben genannten Argos.

ἐπελθεῖν ἐπί cum accus. vom Auftreten vor einer Versammlung auch V 96. Vgl. unten c. 172.

14. τοὺς δέ das entsprechende Substantiv ist aus βουλευτήριον zu entnehmen.

15. τριήκοντα ἔτεα. Accusativ auf die Frage: Wie lange? Vgl. Thuk. V 47 σπονδὰς ἐποιήσαντο ἑκατὸν Ἀθηναῖοι ἔτη.

17. κατά γε τὸ δίκαιον. Die Argeier begründeten ihre Ansprü-

σθαι τὴν ἡγεμονίην ἑωυτῶν, ἀλλ' ὅμως σφι ἀποχρᾶν κατὰ τὸ ἥμισυ ἡγεομένοισι. Ταῦτα μὲν λέγουσι τὴν βουλὴν ὑποκρίνα- 149
σθαι, καίπερ ἀπαγορεύοντός σφι τοῦ χρηστηρίου μὴ ποιέεσθαι τὴν πρὸς τοὺς Ἕλληνας συμμαχίην. σπουδὴν δὲ ἔχειν σπονδὰς γενέσθαι τριηκοντοέτιδας, καίπερ τὸ χρηστήριον φοβεομένοισι, ἵνα δή σφι οἱ παῖδες ἀνδρωθέωσι ἐν τούτοισι τοῖσι ἔτεσι. μὴ δὲ σπονδέων ἐουσέων ἐπιλέγεσθαι, ἢν ἄρα σφέας καταλάβῃ πρὸς τῷ γεγονότι κακῷ ἄλλο πταῖσμα πρὸς τὸν Πέρσην, μὴ τὸ λοιπὸν ἔωσι Λακεδαιμονίων ὑπήκοοι. τῶν δὲ ἀγγέλων τοὺς ἀπὸ τῆς Σπάρτης πρὸς τὰ ῥηθέντα ἐκ τῆς βουλῆς ἀμείψασθαι τοισίδε, περὶ μὲν σπονδέων ἀνοίσειν ἐς τοὺς πλεῦνας, περὶ δὲ ἡγεμονίης αὐτοῖσι ἐντετάλθαι ὑποκρίνασθαι, καὶ δὴ λέγειν σφίσι μὲν εἶναι δύο βασιλέας, Ἀργείοισι δὲ ἕνα· οὐκ ὦν δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι τῆς

che auf die Führung der gesammten Bundesgenossenschaft darauf, dasz Agamemnon Oberfeldherr des verbündeten Griechenheeres, überhaupt Argos in der Vorzeit Haupt von ganz Griechenland gewesen sei. Hatte doch noch König Pheidon (vgl. VI 127) seinem Staate die Vorherschaft über die ganze Peloponnes zu erwerben gewuszt. — Aehnliche Berufungen auf ein mythisches Recht s. unt. c. 159. V 43. 94. IX 26.

149. 3. *μή* nach *ἀπαγορεύειν*. S. z. c. 11.

4. *σπουδὴν ἔχειν* heiszt hier: eifrig betreiben, in welcher Bedeutung Herodot sonst meist *σπουδὴν ποιέεσθαι* gebraucht; wie hier auch IX 8. Die gewöhnliche Bedeutung von *σπουδὴν ἔχειν* ist: Eile haben (IX 66. 89).

5. *φοβεομένοισι*, der Dativ, weil *σφίσι* bei *γενέσθαι* vorschwebt.

7. *μὴ δέ* wol zu unterscheiden von *μηδέ*; übrigens pflegt gerade wegen dieses Unterschiedes sonst *μή* und *δέ* durch das Wort, auf welches sich die Negation bezieht, getrennt zu werden. Wie hier V 35.

ἐπιλέγεσθαι hängt noch von *λέγουσι* ab. Ueber die Bedeutung s. z. c. 10, VIII. — *ἐπιλέγεσθαι* hier mit *μή* verbunden, weil es den Begriff der Furcht andeutet. Wie hier III 65 *οὐδαμὰ ἐπιλεξάμενος μή κοτέ τίς μοι Σμέρδιος ὑπαραιρημένον ἄλλος ἐπανασταίη ἀνθρώπων.*

8. *πταῖσμα πρὸς τὸν Πέρσην* wegen *πταίειν πρός τι* (*προσπταίειν* c. 22. 170. 210).

9. *τῶν δὲ ἀγγέλων τοὺς ἀπὸ Σπάρτης.* Da die von den Argeiern gestellten Bedingungen zunächst die Spartaner angiengen, so ergriffen aus der Gesandtschaft die spartanischen Abgeordneten das Wort.

11. *ἀνοίσειν. ἀναφέρειν ἔς τινα* referre ad aliquem auch III 71.

ἐς τοὺς πλεῦνας. Gemeint ist die *ἁλίη* (c. 134), welche über Krieg, Frieden, Waffenstillstand zu entscheiden hatte.

13. *Ἀργείοισι δὲ ἕνα.* Ueber die Bedeutung der argeiischen Könige vgl. Paus. II 19, 2 *Ἀργεῖοι δὲ, ἅτε ἰσηγορίαν καὶ τὸ αὐτόνομον ἀγαπῶντες ἐκ παλαιοτάτου, τὰ τῆς ἐξουσίας τῶν βασιλέων ἐς ἐλάχιστον προήγαγον.*

14. *οὐκ ὦν.* S. z. c. 11.

τῶν ἐκ Σπάρτης. ἐκ wegen *παύειν*, in welchem der Begriff des *οὐ πέμπειν* als Folge enthalten liegt. S. z. c. 37. — Dasz bei den Spartanern (seit Kleomenes I) das Gesetz bestand, *μὴ ἐξεῖναι ἕπεσθαι ἀμφοτέρους τοὺς βασιλέας ἐξιούσης τῆς στρατιῆς* (V 75), scheinen die

ἡγεμονίης, μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψηφον τὸν Ἀργεῖον εἶναι κωλύειν οὐδέν. οὕτω δὴ οἱ Ἀργεῖοί φασι οὐκ ἀνασχέσθαι τῶν Σπαρτιητέων τὴν πλεονεξίην, ἀλλ᾽ ἑλέσθαι μᾶλλον ὑπὸ τῶν βαρβάρων ἄρχεσθαι ἤ τι ὑπεῖξαι Λακεδαιμονίοισι, προειπεῖν τε τοῖσι ἀγγέλοισι πρὸ δύντος ἡλίου ἀπαλλάσσεσθαι ἐκ τῆς Ἀργείων χώρης, εἰ δὲ μή, περιέψεσθαι ὡς πολεμίους.

150 Αὐτοὶ μὲν Ἀργεῖοι τοσαῦτα τούτων πέρι λέγουσι, ἔστι δὲ ἄλλος λόγος λεγόμενος ἀνὰ τὴν Ἑλλάδα, ὡς Ξέρξης ἔπεμψε κήρυκα ἐς Ἄργος πρότερον ἤπερ ὁρμῆσαι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. ἐλθόντα δὲ τοῦτον λέγεται εἰπεῖν· Ἄνδρες Ἀργεῖοι, βασιλεὺς Ξέρξης τάδε ὑμῖν λέγει· Ἡμεῖς νομίζομεν Πέρσην εἶναι, ἀπ᾽ οὗ ἡμεῖς γεγόναμεν, παῖδα Περσέος τοῦ Δανάης, γεγονότα ἐκ τῆς Κηφέος θυγατρὸς Ἀνδρομέδης. οὕτω ἂν ὦν εἴημεν ὑμέτεροι ἀπόγονοι. οὔτε ὦν ἡμέας οἰκὸς ἐπὶ τοὺς ἡμετέρους προγόνους ἐκστρατεύεσθαι, οὔτε ὑμέας ἄλλοισι τιμωρέοντας ἡμῖν ἀντιξόους γενέσθαι, ἀλλὰ παρ᾽ ὑμῖν αὐτοῖσι ἡσυχίην ἔχοντας κατῆσθαι. ἢν γὰρ ἐμοὶ γένηται κατὰ νόον, οὐδαμοὺς μέζονας ὑμέων ἄξω. Ταῦτα ἀκούσαντας Ἀργείους λέγεται πρῆγμα ποιήσασθαι, καὶ παραχρῆμα μὲν οὐδὲν ἐπαγ-

spartanischen Abgeordneten absichtlich vergessen zu haben.

1. *μετὰ δὲ δύο τῶν σφετέρων.* *δύο* indeclinabel gebraucht wie c. 16. 49.

ὁμόψηφον. „Gleiche Stimme hatten im Rat alle Repräsentanten, vor der Schlacht alle Feldherren der einzelnen Bundesglieder; Argos wäre also auf diese Art bloses Bundesglied geworden."

6. *περιέψεσθαι.* Infin. Futur. med. in passiver Bedeutung. Genau wie hier II 115 *αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι, εἰ δὲ μή, ἅτε πολεμίους περιέψεσθαι.* S. z. c. 39 (*ζημιώσεαι*).

150. 7. *ἔστι λόγος λεγόμενος* auch c. 167 öfter.

9. *πρότερον ἤ* = *πρὶν ἤ* auch c. 54.

10. *ἐλθόντα λέγεται εἰπεῖν.* *λέγεται* mit Accus. c. infin. auch c. 56.

11. *τάδε λέγει.* Auch III 122 wird mit dieser einfachen, altertümlichen Redeformel eine Botschaft eingeleitet. Vgl. III 40.

Πέρσην. S. z. c. 61 (*Κηφῆνες*).

16. *ἀντίξοος* att. *ἐναντίος*. Auch c. 49. 192.

18. *μέζονας ἄξω* = *τιμιωτέρους ἢ ἐν μέζονι τιμῇ ἄξω.* *ἄγειν* steht in der Bedeutung von *νομίζειν* „schätzen" auch I 107. II 172. IX 7.

19. *λέγεται.* Mit Accus. c. Inf. wie oben.

πρῆγμα ποιήσασθαί τι „etwas zu einer Sache von Bedeutung machen" auch VI 63.

οὐδὲν ἐπαγγελλομένους μεταιτέειν = *οὐδὲν ἐπαγγέλλεσθαι καὶ οὐδὲν μεταιτέειν.* Die Argeier machten weder Anerbietungen (in Betreff eines Bündnisses), noch verlangten sie dafür als Gegenleistung etwas (Anteil am Oberbefehl), d. h. die Argeier lieszen überhaupt alle Unterhandlungen fallen. — Die Negation gehört auch zu *μεταιτέειν*. Vgl. V 39 *τῆς δὲ Σπάρτης Ἀναξανδρίδης μὲν ὁ Λέοντος οὐκέτι περιεὼν ἐβασίλευε.*

γελλομένους μεταιτέειν, ἐπεὶ δέ σφεας παραλαμβάνειν τοὺς
Ἕλληνας, οὕτω δὴ ἐπισταμένους, ὅτι οὐ μεταδώσουσι τῆς ἀρ-
χῆς Λακεδαιμόνιοι, μεταιτέειν, ἵνα ἐπὶ προφάσιος ἡσυχίην
ἄγωσι. Συμπεσεῖν δὲ τούτοισι καὶ τόνδε τὸν λόγον λέγουσί 151
τινες Ἑλλήνων, πολλοῖσι ἔτεσι ὕστερον γενόμενον τούτων, τυ-
χεῖν ἐν Σούσοισι τοῖσι Μεμνονίοισι ἐόντας ἑτέρου πρήγματος
εἵνεκεν ἀγγέλους Ἀθηναίων, Καλλίην τε τὸν Ἱππονίκου καὶ
τοὺς μετὰ τοῦτον ἀναβάντας, Ἀργείους δὲ τὸν αὐτὸν τοῦτον
χρόνον πέμψαντας καὶ τούτους ἐς Σοῦσα ἀγγέλους εἰρωτᾶν

1. *παραλαμβάνειν*. *παραλαμβάνω*, ich versuche zu gewinnen (als Bundesgenossen); ebenso c. 168. Ueber den Infin. nach *ἐπεί* s. z. c. 3.

2. *οὕτω δή* leitet oft, das Vorhergehende zusammenfassend, den Nachsatz ein. Wie hier c. 155. 158. 233. Aehnlich gebraucht Herodot *ἐνθαῦτα*.

3. *μεταιτέειν, τῆς ἀρχῆς*.

ἐπὶ προφάσιος = *ταύτης ἐχόμενοι προφάσιος* (VI 94). Vgl. IV 135 und Thuk. III 75 *ἐπὶ προφάσει*.

151. 4. *συμπεσεῖν* in gleicher Bedeutung VI 18 *συνέπεσε τὸ πάθος* (*ἡ Μιλήτου ἅλωσις*) *τῷ χρηστηρίῳ τῷ ἐς Μίλητον γενομένῳ*.

τόνδε τὸν λόγον „folgende Geschichte". *λόγος* in gleicher Bedeutung I 21.

6. *ἐν Σούσοισι τοῖσι Μεμνονίοισι*. *τὰ Μεμνόνια* hiesz die Königsburg von Susa, welche nach der Sage von Memnon, dem König der östlichen Aethiopen (Homer Odyss. I 24), erbaut war. S. z. V 53.

ἑτέρου πρήγματος εἵνεκεν. Wir wissen darüber nichts näheres.

7. *Καλλίην*. Ueber das reiche und berühmte Geschlecht der Kallias in Athen s. zu VI 121. Der hier erwähnte Kallias (mit dem Beinamen *Λακκόπλουτος*) galt für den reichsten aller Athener. In welcher Veranlassung und zu welcher Zeit Kallias mit einer Gesandtschaft beim Artaxerxes (465—425) gewesen, läszt sich nicht mit Sicherheit bestimmen. Einige vermuten, dasz der Vertrag, welcher 469 nach der Schlacht am Eurymedon zwischen Persern und Griechen zu Stande kam, durch Kallias abgeschlossen sei (Plut. Kim. 13); dem steht entgegen, dasz Artaxerxes, mit welchem Kallias nach unserer Stelle unterhandelte, erst 465 zur Regierung kam. Andere denken an den sogenannten kimonischen Frieden (449), der, wie Diodor XII 4 ausdrücklich angibt, von Kallias, dem Athenienser, abgeschlossen sein soll. Wenn es nun auch sehr zweifelhaft ist, ob dieser Frieden, welchen weder Herodot noch Thukydides auch nur mit einem Worte erwähnen, die doch beide ein so wichtiges Factum nicht mit Stillschweigen hätten übergehen können, überhaupt geschlossen ist, so macht es doch die häufige Erwähnung desselben bei den späteren Historikern und namentlich bei den attischen Rednern wahrscheinlich, dasz um 449 (nach Kimons Tode) ein Vertrag zwischen Persern und Griechen zu Stande gekommen ist, über dessen nähere Bedingungen wir freilich bei dem Schweigen des Herodot und Thukydides nichts Sicheres angeben können; denn erst spätere Historiker (Diodor XII 4) erwähnen die einzelnen Bestimmungen desselben und schreiben seine Abschlieszung dem Kimon zu. Dasz nun Kallias als Unterhändler des vorhin erwähnten Vertrags von den Athenern zum Artaxerxes gesandt sei, ist immerhin möglich.

καὶ τοὺς μετὰ τοῦτον ἀναβάντας, die Gesandten der übrigen hellenischen Staaten.

9. *καὶ τούτους*. S. z. c. 129.

Ἀρτοξέρξην τὸν Ξέρξεω, εἴ σφι ἔτι ἐμμένει τὴν πρὸς Ξέρξην φιλίην συνεκεράσαντο, ἢ νομιζοίατο πρὸς αὐτοῦ εἶναι πολέμιοι. βασιλέα δὲ Ἀρτοξέρξην μάλιστα ἐμμένειν φάναι, καὶ οὐ-
152 δεμίαν νομίζειν πόλιν Ἄργεος φιλιωτέρην. Εἰ μέν νυν Ξέρ-
ξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτεον Ἀρτοξέρξην περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν, οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαίνομαι ἄλλην γε ἢ τήνπερ αὐτοὶ Ἀργεῖοι λέγουσι. ἐπίσταμαι δὲ τοσοῦτο, ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ ἐς μέσον συνενείκαιεν ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισι, ἐγκύψαντες ἂν ἐς τὰ τῶν πέλας κακὰ ἀσπασίως ἕκαστοι αὐτῶν ἀποφεροίατο ὀπίσω τὰ ἐσηνείκαντο. οὕτω δὴ οὐκ Ἀργείοισι αἴσχιστα πεποίηται. ἐγὼ δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαί γε μὲν οὐ παντάπασι ὀφείλω, καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα τὸν λόγον, ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἦσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα,

1. *εἴ σφι ἔτι ἐμμένει.* Subject ist *ἡ φιλίη*, was als Object in den Relativsatz gezogen ist.

2. *συνεκεράσαντο.* Vgl. IV 152 *Κυρηναίοισι δὲ εἰ Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνεκρήθησαν.*

νομιζοίατο. Moduswechsel. Wie hier III 140. V 13. 97. — *νομίζεσθαι* mit *πρός* verbunden auch c. 2.

152. 9. *ἐπίσταμαι δὲ τοσοῦτο.* Im Folgenden nimmt Her. die Argeier gegen die schweren Vorwürfe, welche noch zu seiner Zeit gegen Argos, wegen seiner neutralen Haltung während der Perserkriege, erhoben werden mochten, nicht undeutlich in Schutz. Er gibt eine Entschuldigung der Argeier in Form einer allgemeinen Betrachtung: Wir alle haben unsere Fehler und gar mancher, der sich vor anderen für schuldbeladen hält und von den Uebrigen verdammt wird, möchte doch mit anderen kaum tauschen, wenn es ihm frei stände, einen Blick in ihr Herz zu werfen und die Grösze fremder Schuld gegen die eigene abzumessen. Und so ist das Verhalten der Argeier nicht so sehr viel schlechter als das Anderer (der Thebaner?) gewesen (*οὕτω δὴ οὐκ Ἀργείοισι αἴσχιστα πεποίηται*). Damit will Herodot zugleich die Ermahnung verknüpfen, dasz diejenigen, welche Andere verdammen, bei einer unparteiischen Prüfung oft finden würden, dasz auch sie selbst nicht frei von Schuld sind und Anderen ebenfalls Grund zu Anklagen geben könnten.

τὰ οἰκήϊα κακά, ihre eigenen Freveltaten.

10. *τοῖσι πλησίοισι*, kurz für *τοῖσι τῶν πλησίων* (= *τῶν πέλας*).

11. *ἐγκύψαντες*, um sie genauer ansehen zu können.

12. *Ἀργείοισι — πεποίηται.* Ueber den Dativ beim Passiv s. z. c. 53.

13. *ἐγὼ δὲ ὀφείλω κτλ.* Vgl. mit diesem Ausspruch II 123 *ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑπόκειται, ὅτι τὰ λεγόμενα ὑπ' ἑκάστων ἀκοῇ γράφω.* Aehnlich IV 195. Ueber die Form der Kritik Herodots s. Einl. Bd. I S. 15.

14. *μέν* att. *μήν.*

15. *ἐπεί* = denn, wie c. 103.

ἐπειδή σφι πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἐστήκεε, πᾶν δὴ βουλόμενοί σφι εἶναι πρὸ τῆς παρεούσης λύπης.

Τὰ μὲν περὶ Ἀργείων εἴρηται, ἐς δὲ τὴν Σικελίην ἄλλοι 153
τε ἀπίκατο ἄγγελοι ἀπὸ τῶν συμμάχων συμμίξοντες Γέλωνι, καὶ δὴ καὶ ἀπὸ τῶν Λακεδαιμονίων Σύαγρος. τοῦ δὲ Γέλωνος τούτου πρόγονος, οἰκήτωρ ὁ ἐν Γέλῃ, ἦν ἐκ νήσου Τήλου τῆς ἐπὶ Τριοπίῳ κειμένης, ὃς κτιζομένης Γέλης ὑπὸ Λινδίων τε τῶν ἐκ Ῥόδου καὶ Ἀντιφήμου οὐκ ἐλείφθη. ἀνὰ χρόνον δὲ αὐτοῦ οἱ ἀπόγονοι γενόμενοι ἱροφάνται τῶν χθονίων θεῶν διετέλεον ἐόντες, Τηλίνεω ἑνός τευ τῶν προγόνων κτησαμένου τρόπῳ τοιῷδε· ἐς Μακτώριον πόλιν τὴν ὑπὲρ Γέλης οἰκημένην ἔφυγον ἄνδρες Γελῴων ἑσσωθέντες στάσι. τούτους ὦν ὁ Τηλίνης κατήγαγε ἐς Γέλην, ἔχων οὐδεμίαν ἀνδρῶν δύναμιν, ἀλλ' ἱρὰ τούτων τῶν θεῶν. ὅθεν δὲ αὐτὰ ἔλαβε ἢ αὐτὸς ἐκτή-

1. *αἰχμή* metaphor. = Kampf, auch V 94.

ἐστήκεε homerisch. Vgl. Hom. Il. V 333 *ἵστατο νεῖκος.* c. 171 *φύλοπις αἰνὴ ἕστηκε πρὸ νέων.*

2. *πρὸ τῆς παρεούσης λύπης* = ἢ τὴν παρεοῦσαν λύπην. Vgl. VI 12 *πρὸ τούτων τῶν κακῶν ἡμῖν γε κρέσσον καὶ ὁτιῶν ἄλλο παθεῖν ἐστί.* — Gemeint ist mit der *λύπη* der Zustand der Erniedrigung und Schmach, in welchen die Argeier durch die ihnen von den Spartanern beigebrachte Niederlage geraten waren (s. c. 148).

Hellenische Gesandte bei Gelon von Syracus. Gelon's Vorfahren. Seine Taten: Die Verhandlungen mit den hellenischen Gesandten. Krieg mit den Karthagern. Niederlage derselben durch Gelon und Theron (c. 153—167).

153. 3. *ἄλλοι τε—καὶ δὴ καί.* S. z. c. 47.

4. *συμμίξοντες Γέλωνι.* Vgl. VIII 67 *ἐθέλων συμμῖξαί σφι καὶ πυθέσθαι τὰς γνώμας.*

6. *οἰκήτωρ ὁ ἐν Γέλῃ* „der sich zuerst von den Vorfahren des Gelon mit in Gela angesiedelt hatte" d. h. der Mitgründer von Gela. Da als Gründer von Gela neben Antiphemos (s. u.) auch ein Deinomenes genannt wird (Schol. Pind. Pyth. II 27), welchen Namen auch Gelons Vater führte (c. 145), so ist es wahrscheinlich, dasz der hier erwähnte Vorfahr Gelons Deinomenes geheiszen hat; auch der Enkel von Gelons Vater, der Sohn Hierons, des Bruders von Gelon, hiesz Deinomenes.

Τήλου. Τῆλος j. Dilos, eine Sporade, liegt Knidos und dem triopischen Vorgebirge (I 144) gegenüber.

7. *ὑπὸ Λινδίων.* Die Gründung Gela's fällt 690 v. Chr. Genaueres bei Thukyd. VI 4.

8. *ἀνὰ χρόνον*, verb. mit *γενόμενοι.* S. z. c. 10, VI.

9. *χθονίων θεῶν*, der Demeter und Persephone. Wie hier VI 134.

14. *ἱρά*, die Götterbilder und sonstige heilige Geräte, die zum Cultus gehörten.

ἢ αὐτὸς ἐκτήσατο. Nach ἤ ist wahrscheinlich *εἰ* (ob) ausgefallen. Herodot kann nichtangeben, woher (*ὅθεν*) Telines die *ἱρά* erhalten; er weisz nicht, ob sie früher einer anderen Familie gehört, aus deren Besitz sie in die Hände des Telines übergegangen sein könnten, oder ob sie erbliches Eigentum seiner eigenen Familie gewesen (*ἢ εἰ αὐτὸς ἐκτήσατο*). Nach dem Schol. z.

σατο, τοῦτο οὐκ ἔχω εἶπαι. τούτοισι δ' ὦν πίσυνος ἐὼν κατ-
ήγαγε, ἐπ' ᾧ τε οἱ ἀπόγονοι αὐτοῦ ἱροφάνται τῶν θεῶν ἔσον-
ται. θῶμά μοι ὦν καὶ τοῦτο γέγονε πρὸς τὰ πυνθάνομαι κατ-
εργάσασθαι Τηλίνην ἔργον τοσοῦτο· τὰ τοιαῦτα γὰρ ἔργα οὐ
πρὸς τοῦ ἅπαντος ἀνδρὸς νενόμικα γίνεσθαι, ἀλλὰ πρὸς ψυχῆς
τε ἀγαθῆς καὶ ῥώμης ἀνδρηΐης· ὁ δὲ λέγεται πρὸς τῆς Σικε-
λίης τῶν οἰκητόρων τὰ ὑπεναντία τούτων πεφυκέναι θηλυ-
154 δρίης τε καὶ μαλακώτερος ἀνήρ. Οὕτω μέν νυν ἐκτήσατο
τοῦτο τὸ γέρας, Κλεάνδρου δὲ τοῦ Παντάρεος τελευτήσαντος
τὸν βίον, ὃς ἐτυράννευσε μὲν Γέλης ἑπτὰ ἔτεα, ἀπέθανε δὲ
ὑπὸ Σαβύλλου ἀνδρὸς Γελῴου, ἐνθαῦτα ἀναλαμβάνει τὴν
μουναρχίην Ἱπποκράτης Κλεάνδρου ἐὼν ἀδελφεός. ἔχοντος δὲ
Ἱπποκράτεος τὴν τυραννίδα ὁ Γέλων ἐὼν Τηλίνεω τοῦ ἱρο-

Pind. Pyth. II 27 war das Letztere der Fall, denn schon sein Vorfahr war in ihrem Besitz gewesen, da er den Cult der chthonischen Götter aus Triopion mitgebracht haben sollte.

1. δ' ὦν. Ueber die Bedeutung von ὦν s. z. c. 9, III.

2. ἐπ' ᾧ τε — ἔσονται. ἐπ' ᾧ τε (att. ἐφ' ᾧ τε) ea conditione ut hier mit Indic. Fut. verbunden wie III 83 ἐπὶ τούτῳ δὲ ὑπεξίσταμαι τῆς ἀρχῆς ἐπ' ᾧ τε οὐδενὸς ὑμέων ἄρξομαι. Mit Infin. unt. c. 154. — Die erbliche Hierophantenwürde war nicht allein ein höchst ehrenvolles, sondern auch ein einflussreiches und einträgliches Amt, da mit ihm die Verwaltung des heiligen Vermögens, so wie der Genuss eines bedeutenden Teils seines Ertrages verbunden war. Ueber die Functionen des Hierophanten vgl. Lob. Aglaoph. I 51: „Hierophantae sive Deorum simulacra sive vasa sacra et instrumenta aliave priscae religionis monumenta (= τὰ ἱερά), qualia in sacrario asservata fuerunt, in conspectum hominum protulerunt. Eorum aspectum qui praebent δεῖξαι τὰ ἱερά vel παρέχειν vel φαίνειν (vgl. ἱεροφάντης) dicuntur, et ab hoc quasi primario Hierophantarum actutum Eleusiniorum sacerdos princeps nomen accepit, tum totum negotium nuncupatum est".

3. θῶμά μοι ὦν καὶ τοῦτο γέγονε. Wunderbar war Herodot schon vorher gewesen, auf welche Weise Telines in den Besitz der ἱρά gekommen sein möchte.

πρὸς τα πυνθάνομαι = πρὸς ταῦτα ἃ πυνθάνομαι. Die Bedeutung von πρός (= in Bezug auf) streift oft an die causale an, so namentlich in πρὸς ταῦτα = διὰ ταῦτα c. 163. II 54. 66. III 127. VI 82. — Herodot hatte über Telines vernommen, dasz er ein weichlicher Mann gewesen sei (s. u.), daher erschien es ihm wunderbar, dasz er eine solche Tat verrichtet haben sollte.

5. πρὸς τοῦ ἅπαντος. πρός c. gen. = gemäsz. Vgl. οὔτε γὰρ Περσικὰ ἦν οὔτε Λύδια τὰ ποιεύμενα ἐκ τῆς γυναικὸς, οὔτε πρὸς τῶν ἐκ τῆς Ἀσίης οὐδαμῶν.

6. πρός verb. mit τῶν οἰκητόρων.

8. μαλακώτερος. In dem Comparativ liegt die Annäherung an den Begriff des Simplex. Vgl. IV 94 ὑπαφρονέστερος, etwas, ziemlich einfältig. Aehnlich νωθέστερος (III 53), ὑποθερμότερος (VI 38 öfter).

154. 12. Κλεάνδρου. Kleandros, früher ein Volksführer, hatte sich 505 v. Chr. mit Hülfe des Volks zum Tyrannen aufgeworfen. Seine Tyrannis währte sieben Jahre. Ihm folgte sein Bruder Hippokrates (498—491), diesem Gelon

φάντεω ἀπόγονος πολλῶν μετ' ἄλλων καὶ Αἰνησιδήμου τοῦ Παταίκου ἦν δορυφόρος Ἱπποκράτεος. μετὰ δὲ οὐ πολλὸν χρόνον δι' ἀρετὴν ἀπεδέχθη πάσης τῆς ἵππου εἶναι ἵππαρχος· πολιορκέοντος γὰρ Ἱπποκράτεος Καλλιπολιήτας τε καὶ Ναξίους καὶ Ζαγκλαίους τε καὶ Λεοντίνους καὶ πρὸς Συρηκοσίους τε καὶ τῶν βαρβάρων συχνοὺς ἀνὴρ ἐφαίνετο ἐν τούτοισι τοῖσι πολέμοισι ἐὼν ὁ Γέλων λαμπρότατος. τῶν δὲ εἶπον πολίων, τούτων πλὴν Συρηκουσέων οὐδεμία πεφεύγεε δουλοσύνην πρὸς Ἱπποκράτεος. Συρηκοσίους δὲ Κορίνθιοί τε καὶ Κερκυραῖοι ἐρρύσαντο μάχῃ ἑσσωθέντας ἐπὶ ποταμῷ Ἐλώρῳ. ἐρρύσαντο δὲ καὶ οὗτοι ἐπὶ τοῖσδε καταλλάξαντες, ἐπ' ᾧτε Ἱπποκράτεϊ Καμάριναν Συρηκοσίους παραδοῦναι· Συρηκοσίων δὲ ἦν Κα-

(491—478). Gelon gehörte zu der angesehenen Hierophantenfamilie in Gela und war der älteste der 4 Söhne des Deinomenes (c. 145). Seine Brüder waren Hieron, Polyzelos, Thrasybulos. Als Gelon 484 Herscher von Syrakus wurde, übernahm Hieron die Herschaft seiner Vaterstadt Gela; nach Gelons Tode 478 folgte er diesem auch in der Tyrannis von Syracus.

1. *Αἰνησιδήμου.* Diesen Waffengenossen des Gelon hebt Herodot aus der Zahl der *δορυφόροι* einesteils wegen seiner kriegerischen Tüchtigkeit hervor, andernteils deshalb, weil er vermutlich der Vater war des von Herodot unt. c. 165 erwähnten Tyrannen von Agrigent, Theron, in Verein mit welchem Gelon die Karthager unter Hamilkar bei Himera schlug (c. 165—167). Ueber das Geschlecht des Ainesidemos und Theron s. z. c. 165.

2. *μετὰ δὲ — χρόνον*, nachdem er eben erst unter die *δορυφόροι* des Hippokrates aufgenommen war, erhielt er kurze Zeit nachher den Oberbefehl über die Reiterei.

3. *ἀπεδέχθη — εἶναι.* Der Infinitiv ist für uns pleonastisch. Vgl. V 25 *Ὀτάνεα ἀποδέξας στρατηγὸν εἶναι τῶν παραθαλασσίων ἀνδρῶν.* Ohne *εἶναι* I 124. 162.

4. *Καλλιπολιήτας.* Kallipolis lag am Fusze des Aitna; es war eine Colonie des sikelischen Naxos. — Naxos, eine der ersten griechischen Niederlassungen auf Sicilien, war 734 v. Chr. von dem euboischen Chalkis gegründet; auch Zankle und Leontini waren chalkidische Städte. Syrakus war eine korinthische Colonie (735 v. Chr.). Vgl. über die hellenischen Colonieen auf Sicilien Thuk. VI 1.

5. *καὶ πρὸς* adverbialisch wie V 20. Vgl. *πρὸς δέ* (c. 166. V 20), *ἐπὶ δέ*, *ἐν δέ* (V 95) und das sehr häufige *μετὰ δέ*.

6. *βαρβάρων.* Gemeint sind die eingeborenen Sikuler (Thuk. VI 1).

8. *πεφεύγεε — πρός.* *πρός* cum Genet. = von Seiten. Vgl. V 45 *οὐ μέντοι οὐδὲ αὐτοὶ δουλοσύνην διέφυγον πρὸς Περσέων.*

10. *Ἐλώρῳ.* *Ἔλωρος* (auch *Ἕλωρος*), ein Flusz auf der östlichen Küste Siciliens, nördlich vom Vorgebirge Pachynum, j. Atellaro (an der Mündung Abiso).

11. *ἐπὶ τοῖσδε.* *ἐπί* = unter der Bedingung. Vgl. im Folg. *ἐπ' ᾧ τε* (auch c. 153). Wie hier *ἐπὶ τοῖσδε*, so ist V 82 *ἐπὶ τοισίδε* von nur einer Bedingung gesagt.

ἐπ' ᾧτε mit Infinitiv. S. z. c. 153.

12. *Καμάριναν.* Kamarina, noch jetzt Camarina, wurde von Syrakus aus (598 v. Chr.) auf der Südküste Siciliens an der Mündung des Hipparis gegründet. Ueber die späteren Schicksale der Stadt vgl. Thuk. VI 5.

155 μάρινα τὸ ἀρχαῖον. Ὡς δὲ καὶ Ἱπποκράτεα τυραννεύσαντα ἴσα ἔτεα τῷ ἀδελφεῷ Κλεάνδρῳ κατέλαβε ἀποθανεῖν πρὸς πόλι Ὕβλῃ, στρατευσάμενον ἐπὶ τοὺς Σικελούς, οὕτω δὴ ὁ Γέλων τῷ λόγῳ τιμωρέων τοῖσι Ἱπποκράτεος παισὶ Εὐκλείδῃ τε καὶ Κλεάνδρῳ οὐ βουλομένων τῶν πολιητέων κατηκόων ἔτι εἶναι, τῷ ἔργῳ, ὡς ἐπεκράτησε μάχῃ τῶν Γελῴων, ἦρχε αὐτὸς ἀποστερήσας τοὺς Ἱπποκράτεος παῖδας. μετὰ δὲ τοῦτο τὸ εὕρημα τοὺς γαμόρους καλεομένους τῶν Συρηκοσίων ἐκπεσόντας ὑπό τε τοῦ δήμου καὶ τῶν σφετέρων δούλων, καλεομένων δὲ Κυλλυρίων, ὁ Γέλων καταγαγὼν τούτους ἐκ Κασμένης πόλιος ἐς

155. 1. *τυραννεύσαντα.* Ueber die Regierungszeit des Hippokrates s. z. c. 154.

2. *ἴσα — ἀδελφεῷ.* Ueber *ἴσος* cum dativ. s. z. c. 3.

κατέλαβε ἀποθανεῖν. *καταλαμβάνειν* betreffen auch c. 149. Mit unserer Stelle vgl. III 118 *Ἰνταφέρνεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανεῖν αὐτίκα.*

3. *Ὕβλῃ.* Es gab drei Städte dieses Namens auf Sicilien. 1) *Ὕβλη ἡ μείζων*, Groszhybla; am Südabhange des Aitna, j. Paterno. 2) *Ὕβλη Ἡραία,* zwischen Gela und Syrakus gelegen. 3) *Ὕβλη τὰ Μέγαρα*, wo Dorer aus Megara eine Niederlassung gegründet hatten (daher auch wol blosz *Μέγαρα* geheiszen). Vgl. c. 156. Es lag an der Ostküste der Insel in nördlicher Richtung von Syrakus. Ob an unserer Stelle Groszhybla oder Hybla Heraea gemeint ist, läszt sich nicht entscheiden.

Σικελούς. Nach Thuk. VI 2 waren die *Σικελοί* aus Italien eingewandert.

οὕτω δή im Nachsatze. S. z. c. 150.

4. *τῷ λόγῳ — τῷ ἔργῳ* auch VI 38.

7. *εὕρημα,* öfter von groszen (überraschenden) Glücksfällen gebraucht. Vgl. VIII 109 *εὕρημα εὑρήκαμεν ἡμέας τε αὐτοὺς καὶ τὴν Ἑλλάδα.* Aehnlich ob. c. 10, IV.

8. *γαμόρους*, die dorische Form *γαμόροι* entspricht der attischen *γεωμόροι.* In Syrakus wurden mit diesem Namen die adeligen Grundbesitzer bezeichnet, welche selbst in der Stadt wohnten, aber auf ihren Ländereien zinspflichtige Bauern (*δοῦλοι*) hielten. Nach der Einwanderung der siegreichen Dorer (Korinthier) war das Eigenthumsrecht an Grund und Boden auf die Sieger übergegangen (*γαμόροι = κληροῦχοι*), während die ursprüngliche Bevölkerung, die *Σικανοί* (Thuk. VI 2), mit der politischen Unabhängigkeit zugleich Grundbesitz und persönliche Freiheit verlor. Dieses Verhältnis findet sich in den meisten dorischen Staaten. Man vergl. die syrakusischen Kyllyrier mit den spartanischen Heloten, den kretischen Klaroten, den argivischen Gymneten, so wie mit den thessalischen Penesten.

ἐκπεσεῖν ὑπό, auch VIII 141. — Der zweite und dritte Stand, nämlich der *δῆμος*, d. i. die niedere Bürgerschaft (s. z. c. 156 Ende) und die leibeigenen Bauern (*κυλλύριοι*), hatten gegen den ersten Stand, die oligarchischen grundbesitzenden Familien (*γαμόροι*), gemeinschaftliche Sache gemacht und diese vertrieben.

9. *καλεομένων δέ.* Ueber den Gebrauch von *δέ* s. z. c. 8, II (*δούλῳ δέ*).

10. *καταγαγών.* *κατάγειν* vom Zurückführen Verbannter auch c. 153.

Κασμένα war nach Thuk. VI 5 645 v. Chr. von Syrakus aus gegründet. Die Lage läszt sich nicht genauer bestimmen.

τὰς Συρηκούσας ἔσχε καὶ ταύτας. ὁ γὰρ δῆμος ὁ τῶν Συρη-
κοσίων ἐπιόντι Γέλωνι παραδιδοῖ τὴν πόλιν καὶ ἑωυτόν. Ὁ 156
δὲ ἐπείτε παρέλαβε τὰς Συρηκούσας, Γέλης μὲν ἐπικρατέειν
λόγον ἐλάσσω ἐποιέετο, ἐπιτρέψας αὐτὴν Ἱέρωνι ἀδελφεῷ ἑωυ-
τοῦ, ὁ δὲ τὰς Συρηκούσας ἐκράτυνε, καὶ ἦσάν οἱ πάντα αἱ Συ-
ρήκουσαι. αἱ δὲ παραυτίκα ἀνά τ' ἔδραμον καὶ ἀνέβλαστον·
τοῦτο μὲν γὰρ Καμαριναίους ἅπαντας ἐς τὰς Συρηκούσας ἀγα-
γὼν πολιήτας ἐποίησε, Καμαρίνης δὲ τὸ ἄστυ κατέσκαψε, τοῦτο
δὲ Γελῴων ὑπερημίσεας τῶν ἀστῶν τὠυτὸ τοῖσι Καμαριναίοισι
ἐποίησε, Μεγαρέας τε τοὺς ἐν Σικελίῃ, ὡς πολιορκεόμενοι ἐς
ὁμολογίην προσεχώρησαν, τοὺς μὲν αὐτῶν παχέας ἀειραμένους
τε πόλεμον αὐτῷ καὶ προσδοκέοντας ἀπολέεσθαι διὰ τοῦτο
ἀγαγὼν ἐς τὰς Συρηκούσας πολιήτας ἐποίησε, τὸν δὲ δῆμον
τῶν Μεγαρέων οὐκ ἐόντα μεταίτιον τοῦ πολέμου τούτου οὐδὲ
προσδεκόμενον κακὸν οὐδὲν πείσεσθαι ἀγαγὼν καὶ τούτους ἐς

156. 3. *ἐπικρατέειν* ist für das handschriftliche *ἐπικρατέων* geschrieben. Zu dem fehlenden *τοῦ* vgl. II 20 *αἰτίους εἶναι (τοὺς ἀνέμους) πληθύειν τὸν ποταμόν*. Vgl. unt. c. 170.

4. *ἐπιτρέψας*. Im Jahre 484. S. z. c. 154.

5. *ὁ δέ*. S. z. c. 6.

ἦσάν οἱ πάντα αἱ Συρήκουσαι. Vgl. III 157 *ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν τοῖσι Βαβυλωνίοισι Ζώπυρος* = Zop. war den Babyloniern Alles, d. h. er wurde von ihnen am höchsten geehrt. Eine andere Bedeutung hat *τὰ πάντα* I 122.

6. *ἀνά τ' ἔδραμον*. Tmesis. S. z. c. 10, V. Ganz wie hier I 66 *οἱ Σπαρτιῆται ἀνά τ' ἔδραμον αὐτίκα καὶ εὐθηνήθησαν*, an welcher Stelle ebenfalls *ἀναδραμεῖν* in uneigentlicher Bedeutung gebraucht ist. — Das (dichterische) *ἀναβλαστάνειν* hier vom Emporblühen eines Staats; in etwas anderer Bedeutung III 62. V 92.

7. *τοῦτο μὲν — τοῦτο δέ*. S. z. c. 6.

8. *τὸ ἄστυ* im Gegensatz zur Burg. Vgl. I 14.

9. *τὠυτὸ τοῖσι*. Ueber *ὁ αὐτός* mit Dativ s. z. c. 3.

10. *Μεγαρέας τε τοὺς ἐν Σικελίῃ*. S. z. c. 155.

11. *τοὺς μὲν αὐτῶν παχέας — τὸν δὲ δῆμον* bestimmen das oben allgemein angegebene Object (*Μεγαρέας*) genauer und stehen als Teile desselben mit demselben im gleichen Casus. Ganz wie hier VI 30 *νῦν δὲ Ἱστιαῖον αὐτῶν δὲ τούτων εἵνεκεν Ἀρταφέρνης τε ὁ Σαρδίων ὕπαρχος καὶ ὁ λαβὼν Ἅρπαγος, ὡς ἀπίκετο ἀγόμενος ἐς Σάρδις, τὸ μὲν αὐτοῦ σῶμα ἀνεσταύρωσαν, τὴν δὲ κεφαλὴν ταριχεύσαντες ἀνήνεικαν παρὰ βασιλέα Δαρεῖον ἐς Σοῦσα*. — Hier wie V 30. 77. VI 91 sind *οἱ παχέες* die Aristokraten eig. die Wohlgenährten.

ἀειραμένους πόλεμον αὐτοῖς. Die Wendung *πόλεμον ἀείρασθαι τινι* auch c. 132.

14. *οὐκ ἐόντα μεταίτιον τοῦ πολέμου*. Auch Megara wurde wie Syrakus von oligarchischen Familien regiert; sie waren es, welche sich mit ihren leibeigenen Bauern (*δοῦλοι*) den Uebergriffen Gelons mit Waffengewalt widersetzten. Der *δῆμος*, d. i. die niedere Bürgerschaft hatte am Kampfe keinen Teil genommen, was ihnen Gelon schlecht vergalt.

15. *καὶ τούτους* et ipsos erneuert *τὸν δῆμον*. Auch das Volk

τὰς Συρηκούσας ἀπέδοτο ἐπ' ἐξαγωγῇ ἐκ Σικελίης. τὠυτὸ δὲ τοῦτο καὶ Εὐβοέας τοὺς ἐν Σικελίῃ ἐποίησε διακρίνας. ἐποίεε δὲ ταῦτα τούτους ἀμφοτέρους νομίσας δῆμον εἶναι συνοίκημα
157 ἀχαριτώτατον. Τοιούτῳ μὲν τρόπῳ τύραννος ἐγεγόνεε μέγας ὁ Γέλων, τότε δὲ ὡς οἱ ἄγγελοι τῶν Ἑλλήνων ἀπίκατο ἐς τὰς Συρηκούσας, ἐλθόντες αὐτῷ ἐς λόγους ἔλεγον τάδε· Ἔπεμψαν ἡμέας Λακεδαιμόνιοί τε καὶ Ἀθηναῖοι καὶ οἱ τούτων σύμμαχοι παραλαμψομένους σε πρὸς τὸν βάρβαρον· τὸν γὰρ ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα πάντως κου πυνθάνεαι, ὅτι Πέρσης ἀνὴρ μέλλει ζεύξας τὸν Ἑλλήσποντον καὶ ἐπάγων πάντα τὸν ἠῷον στρατὸν ἐκ τῆς Ἀσίης στρατηλατήσειν ἐπὶ τὴν Ἑλλάδα, πρόσχημα μὲν ποιεύμενος, ὡς ἐπ' Ἀθήνας ἐλαύνει, ἐν νόῳ δὲ ἔχων πᾶσαν τὴν Ἑλλάδα ὑπ' ἑωυτῷ ποιήσασθαι. σὺ δὲ δυνάμιός τε ἥκεις μεγάλως, καὶ μοῖρά τοι τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα ἄρχοντί γε Σικελίης. βώθεε τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα, καὶ συνελευθέρου. ἁλὴς μὲν γὰρ γενομένη πᾶσα ἡ Ἑλλὰς

(wie die Vornehmen) führte er aus Megara fort nach Syrakus. *καὶ οὗτος* et ipse auch c. 151.

1. *ἐπ' ἐξαγωγῇ. ἐπί* c. dat. s. z. c. 146 (*ἐπ' οἴσι*). Wie hier V 6 *πωλέουσι τὰ τέκνα ἐπ' ἐξαγωγῇ.*

2. *Εὐβοέας τοὺς ἐν Σικελίῃ.* Gemeint sind die von dem euboischen Chalkis eingewanderten Ansiedler. Vgl. c. 154.

διακρίνας, das Volk von den Vornehmen, welchen letzteren nichts geschah.

3. *συνοίκημα*, „Mitgenossenschaft.“ Dasz Gelon ohne Rücksicht auf die angeborene Stammverschiedenheit die Bürger verschiedener Städte zu einem staatlichen Gemeinwesen vereinigte, erklärt sich daraus, dasz er die griechische Bevölkerung als ein nationales Ganzes ansah, das nur vereinigt auf Sieg über das barbarische Element (Karthager und Sikeler) hoffen könne (s. z. c. 158). So erklärt es sich auch, wie der *δῆμος*, die niedere Bürgerschaft, vor allen der Handels- und Gewerbestand, der zum grössten Teil der sikelischen und phönikischen Bevölkerung angehörte, von ihm unterdrückt wurde.

157. 7. *παραλαμψομένους* att. *παραληψομένους. παραλαμβάνειν* in gleicher Bedeutung c. 168. 169.

8. *τὸν γὰρ ἐπιόντα.* S. z. c. 138.

9. *πάντως κου* haud dubie. Ganz wie hier III 73 *πάντως κου μέμνησθε* und unten c. 214.

10. *πάντα τὸν ἠῷον στρατόν.* Zu *πάντα* vgl. c. 56 (*πάντας ἀνθρώπους*).

13. *ὑπ' ἑωυτῷ ποιήσασθαι.* Ueber *ὑπό* c. dat. s. z. c. 11.

δυνάμιός τε ἥκεις μεγάλως. μεγάλως od. *εὖ ἥκω τινός*, ich bin reichlich womit begabt. Vgl. V 62 *χρημάτων εὖ ἥκοντες.* Aehnlich I 149 *ὁμοίως ἥκειν τινός.* In gleichem Sinne wird *ἔχειν* mit Adverb und Genetiv verbunden. Vgl. I 32 *πολλοὶ δὲ μετρίως ἔχοντες βίου.* — Ueber *γάρ* im vorgeschobenen Satze s. z. c. 44.

14. *μέτα = μέτεστι.* S. z. c. 12.

16. *ἁλὴς γενομένη πᾶσα ἡ Ἑλλάς.* Wir erwarteten den Genet. absolutus; doch gebraucht Her. den Nominativ des Particips in Verbindung mit einem eigenen Subjecte auch sonst in ungewöhnlicher Weise. Vgl. II 66 *ταῦτα δὲ γινόμενα πένθεα μεγάλα τοὺς Αἰγυπτί-*

χεὶρ μεγάλη συνάγεται καὶ ἀξιόμαχοι γινόμεθα τοῖσι ἐπιοῦσι· ἢν δὲ ἡμέων οἳ μὲν καταπροδιδῶσι, οἳ δὲ μὴ ἐθέλωσι τιμωρέειν, τὸ δὲ ὑγιαῖνον τῆς Ἑλλάδος ᾖ ὀλίγον, τοῦτο δὲ ἤδη δεινὸν γίνεται, μὴ πέσῃ πᾶσα ἡ Ἑλλάς. μὴ γὰρ ἐλπίσῃς, ἢν ἡμέας καταστρέψηται ὁ Πέρσης μάχῃ κρατήσας, ὡς οὐκὶ ἥξει παρὰ σέ γε, ἀλλὰ πρὸ τούτου φύλαξαι. βωθέων γὰρ ἡμῖν σεωυτῷ τιμωρέεις· τῷ δὲ εὖ βουλευθέντι πρήγματι τελευτὴ ὡς τὸ ἐπίπαν χρηστὴ ἐθέλει ἐπιγίνεσθαι. Οἳ μὲν ταῦτα ἔλεγον, Γέλων 158
δὲ πολλὸς ἐνεκέετο λέγων τοιάδε· Ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλεονέκτην ἐτολμήσατε ἐμὲ σύμμαχον ἐπὶ τὸν βάρβαρον παρακαλέοντες ἐλθεῖν. αὐτοὶ δὲ ἐμεῦ πρότερον δεηθέντος βαρβαρικοῦ στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς Καρχηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε τὸν Δωριέος τοῦ

ους καταλαμβάνει (statt: τούτων δὲ γινομένων). Vgl. auch I 7. II 166. III 95. VI 11. VIII 44. 83. Aehnlich unt. c. 185.

1. χεὶρ μεγάλη wie c. 20.

3. τὸ — ὑγιαῖνον τῆς Ἑλλάδος. Das substantivierte Neutrum des Particips ist hier metonymisch für das Masculinum gebraucht. Vgl. c. 209 εἰ δὲ τούτους τε καὶ τὸ ὑπομένον (= τοὺς ὑπομένοντας) ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τό σε βασιλεῦ ὑπομενέει. Ebenso steht c. 223 τὸ ἀπολλύμενον für οἱ ἀπολλύμενοι.

τοῦτο δέ. δέ erneuert das erste δέ (in ἢν δέ). Vollständig würde die Responsion lauten: ἢν μὲν ἁλὴς γένηται πᾶσα ἡ Ἑλλὰς, ἀξιόμαχοι μὲν γινόμεθα τοῖσι ἐπιοῦσι. ἢν δὲ — τὸ ὑγιαῖνον τῆς Ἑλλάδος ὀλίγον ᾖ, τοῦτο δὲ ἤδη δεινὸν γίνεται (vgl. c. 159). Das zweite Glied des Conditionalsatzes zerfällt in zwei Unterabteilungen (οἳ μὲν — οἳ δέ) wie c. 188, welche in τὸ δὲ ὑγιαῖνον zusammengefaszt sind. — Eine andere Responsion s. c. 160 μὲν — δὲ — δὲ — (δέ). Wie hier μὲν — (μέν) — δὲ — δέ auch c. 159. Anders noch c. 188 μὲν — δὲ — δὲ — (μὲν — δέ). Ueber derartige Responsionen s. z. II 39.

6. πρὸ τούτου. S. z. c. 16, II.

7. ὡς τὸ ἐπίπαν. S. z. c. 50.

8. ἐθέλει = φιλέει. S. z. c. 9 (Ende).

158. 9. πολλὸς ἐνεκέετο. Vgl. über das in adverbialer Bedeutung gebrauchte πολλός IX 91 ὡς δὲ πολλὸς ἦν λισσόμενος ὁ ξεῖνος ὁ Σάμιος. VIII 59 πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι οἷα κάρτα δεόμενος.

10. πλεονέκτης heiszt die Rede, durch welche man in eigenem, selbstsüchtigem Interesse etwas zu erwirken strebt.

12. συνεπάψασθαι, hier vom feindlichen Angreifen.

13. νεῖκος ein mehr dichterisches Wort, welches Homer öfter mit πόλεμος verbindet. Vgl. Il. XIII 271. Bei Herodot auch III 62. VI 42. Vgl. unt. c. 225.

συνῆπτο. Vgl. VI 108 μελλόντων δὲ συνάπτειν μάχην Κορινθίων — Wir wissen nichts genaueres von dem Ereignis, auf welches diese Worte hindeuten; doch kann man aus denselben so viel mit Sicherheit schlieszen, dasz Gelon von Syrakus, der sich mit seinem Schwiegervater Theron von Agrigent als Gebieter der hellenischen Welt im Westen ansah und als solcher die hellenischen Interessen den Karthagern und den Völkerstämmen Italiens gegenüber auf Sicilien vertrat (s. z. c. 165), auch bei dieser Gelegenheit den Karthagern energischen Widerstand entgegengesetzt und sie auch wirklich durch einen glücklichen Sieg zurückgetrieben hatte, wie er dies wenige Jahre nach-

Ἀναξανδρίδεω πρὸς Ἐγεσταίων φόνον ἐκπρήξασθαι, ὑποτείνοντός τε τὰ ἐμπόρια συνελευθεροῦν, ἀπ' ὧν ὑμῖν μεγάλαι ὠφέλειαί τε καὶ ἐπαυρέσιες γεγόνασι, οὔτε ἐμεῦ εἵνεκεν ἤλθετε βωθήσοντες οὔτε τὸν Δωριέος φόνον ἐκπρηξόμενοι, τό τε κατ' ὑμέας τάδε ἅπαντα ὑπὸ βαρβάροισι νέμεται. ἀλλ' εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ ἄμεινον κατέστη, νῦν δὲ ἐπειδὴ περιελήλυθε ὁ πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις γέγονε. ἀτιμίης δὲ πρὸς ὑμέων κυρήσας οὐκ ὁμοιώσομαι ὑμῖν, ἀλλ' ἑτοῖμός εἰμι βωθέειν παρεχόμενος διηκοσίας τε τριήρεας καὶ δισμυρίους ὁπλίτας καὶ δισχιλίην ἵππον καὶ δισχιλίους τοξότας καὶ δισχιλίους σφενδονήτας καὶ δισχιλίους ἱπποδρόμους ψιλούς. σῖτόν τε ἁπάσῃ τῇ Ἑλλήνων στρατιῇ, ἔστ' ἂν διαπο-

her noch entscheidender durch die Schlacht bei Himera tat (c. 165). Dieses Mal hatte die Ermordung des Spartanerfürsten Dorieus, der in Sicilien eingewandert war (V 46), den Anlasz zum Kampf gegeben. Gelon, welcher dessen Tod rächen wollte, hatte, da die (grösztenteils dem sikelischen Stamme angehörigen) Egestaner die Hülfe der Karthager anriefen, die auf der Westseite der Insel noch im Besitz der Küstenpunkte Soloeis und Panormos und von dort aus jede Gelegenheit, ihre Herschaft zu erweitern, begierig ergriffen, die Spartaner zum Beistand aufgefordert; die Spartaner hatten denselben verweigert, worauf Gelon mit seinen Streitkräften allein die Karthager zurückschlug.

ἐπισκήπτοντος. *ἐπισκήπτειν*, ans Herz legen, ist III 73 mit Dativ verbunden: *μέμνησθε τὰ ἐπέσκηψε Καμβύσης Πέρσῃσι τελευτέων τὸν βίον ἀνακτᾶσθαι τὴν ἀρχήν.* Danach kann man auch an unserer Stelle *ὑμῖν* zu *ἐπισκήπτοντος* ergänzen.

τὸν Δωριέος φόνον. Vgl. V 42—46.

1. *ὑποτείνοντος* = *ὑπισχνουμένου. ὑποτείνειν* steht in gleicher Bedeutung bei Thuk. VIII 48.

2. *ἐμπόρια συνελευθεροῦν.* Waren die sicilischen Handelsplätze im Besitz der Karthager und Phöniker, so erlitt dadurch allerdings der hellenische Handel einen empfindlichen Schlag, da die Karthager ohne Zweifel im Alleinbesitz des Handels bleiben wollten und demgemäsz ihre Häfen den griechischen Kaufleuten verschlossen.

4. *τὸ κατ' ὑμέας*, so weit euch anlangt. Ganz wie hier V 109 *ποιέειν χρεών ἐστι ὑμέας ὅκως τὸ κατ' ὑμέας ἔσται ἥτε Ἰωνίη ἐλευθέρη.*

5. *ὑπό* cum dat. S. z. c. 11.

ἀλλ' εὖ γάρ. *ἀλλά* verb. mit *νῦν δέ* und *οὕτω δὴ Γέλωνος μνῆστις γέγονε*, indem der begründende Satz mit *γάρ* vorangeschickt ist (s. z. c. 44). Ganz wie hier c. 214.

6. *ἐπὶ τὸ ἄμεινον κατέστη.* Gleiche Bedeutung hat c. 8 die Wendung *συμφέρεται ἐπὶ τὸ ἄμεινον.* Bei *κατέστη* erg. *τὰ πρήγματα*, was c. 132 und VI 105 hinzugefügt ist.

περιελήλυθε erhält im Folgenden seine Erklärung (*καὶ ἀπῖκται ἐς ὑμέας*).

7. *οὕτω δή* im Nachsatz. S. z. c. 150.

11. *ἱπποδρόμους ψιλούς*, eine Waffengattung dieses Namens wird sonst bei den Griechen nicht erwähnt. Wahrscheinlich sind darunter leichtbewaffnete Fuszkämpfer zu verstehen, die unter die Reiterei gemischt mit den Reitern gleichen Schritt hielten, auch nach Erfordernis sich mit auf die Pferde schwangen. Man vergleiche die Kampfes-

λεμήσωμεν, ὑποδέκομαι παρέξειν. ἐπὶ δὲ λόγῳ τοιῷδε τάδε
ὑπίσχομαι, ἐπ᾽ ᾧ στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἑλλήνων ἔσο-
μαι πρὸς τὸν βάρβαρον· ἐπ᾽ ἄλλῳ δὲ λόγῳ οὔτ᾽ ἂν αὐτὸς ἔλ-
θοιμι οὔτ᾽ ἂν ἄλλους πέμψαιμι. Ταῦτα ἀκούσας οὔτε ἠνέ- 159
σχετο ὁ Σύαγρος εἶπέ τε τάδε· Ἦ κε μέγ᾽ οἰμώξειε ὁ Πελοπί-
δης Ἀγαμέμνων πυθόμενος Σπαρτιήτας τὴν ἡγεμονίην ἀπα-
ραιρῆσθαι ὑπὸ Γέλωνός τε καὶ Συρηκοσίων. ἀλλὰ τούτου μὲν
τοῦ λόγου μηκέτι μνησθῇς, ὅκως τὴν ἡγεμονίην τοι παραδώ-
σομεν. ἀλλ᾽ εἰ μὲν βούλεαι βωθέειν τῇ Ἑλλάδι, ἴσθι ἀρξόμε-
νος ὑπὸ Λακεδαιμονίων, εἰ δ᾽ ἄρα μὴ δικαιοῖς ἄρχεσθαι, σὺ
δὲ μὴ βωθέειν. Πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα ἀπεστραμ- 160
μένους τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε
ἐξέφηνε λόγον· Ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀν-
θρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. σὺ μέντοι ἀποδεξάμενος
ὑβρίσματα ἐν τῷ λόγῳ οὔ με πείσεις ἀσχήμονα ἐν τῇ ἀμοιβῇ
γενέσθαι. ὅκου δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς ἡγεμονίης,

art, welche Cäsar bell. Gall. I 9 und Tacit. Germ. c. 6 als eine Eigentümlichkeit der Germanen erwähnen. Vielleicht fallen die ἱπποδρόμοι ψιλοί der Syrakuser zusammen mit den boeotischen ἅμιπποι, deren Thuk. V 57 und Xen. Hell. VII 5, 23 Erwähnung tuen.

1. ἐπὶ λόγῳ τοιῷδε — ἐπ᾽ ᾧ unter der Bedingung dasz. S. z. c. 154 (ἐπὶ τοισίδε καταλλάξαντες ἐπ᾽ ᾧ τε).

159. 4. οὔτε — τε. S. z. c. 8, I.

5. ἦ κε μέγ᾽ οἰμώξειε, offenbar dem homerischen: ἦ κε μέγ᾽ οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς (Il. VII 125) nachgebildet. κε ist dem Dialekt des Herodot sonst fremd.

ὁ Πελοπίδης Ἀγαμέμνων, von ihm, dem Oberfeldherrn des gesammten griechischen Heeres im trojanischen Kriege, leiteten die Spartaner das gleichsam erblich gewordene Recht der Heerführerschaft ab, das aufzugeben sie als schimpflich darstellten. S. z. c. 148 Ende.

8. ὅκως — παραδώσομεν. Ueber ὅκως c. fut. s. z. c. 8.

9. ἀρξόμενος. Fut. med. in passiver Bedeutung. S. z. c. 39. Ganz wie hier c. 162.

10. σὺ δέ. δέ erneuert δέ (in εἰ δ᾽). Ueber die Responsion μὲν — (μὲν) — δὲ — δέ s. z. c. 157.

11. βωθέειν. Infin. statt Imperativ. S. z. c. 141.

160. πρὸς ταῦτα. S. z. c. 173.

ἀπεστραμμένους. λόγοι ἀπεστραμμένοι erklärt man: schroffe, zurückstoszende Reden. Doch scheint nach VIII 62 (λέγων μᾶλλον ἐπεστραμμένα) auch hier ἐπεστραμμένους (= nachdrücklich, entschieden) gelesen werden zu müssen. ἐπεστραμμένος eig. fest angezogen.

12. τὸν τελευταῖον, praedikativ zu fassen: dies war das letzte Wort, welches er zu ihnen sprach.

13. κατιόντα erg. ἐς τὸν θυμόν (aus dem folg. ἐπανάγειν τὸν θυμόν). Die Folge des κατιέναι ist das ἐπανάγειν.

14. φιλέει. S. z. c. 9 (Ende).

ἀποδεξάμενος att. ἀποδειξάμενος.

15. ἀσχήμονα — γενέσθαι. Vgl. Eur. frag. 261 ὀργῇ δὲ φαύλη πόλλ᾽ ἔνεστ᾽ ἀσχήμονα.

16. ὅκου causal wie c. 118.

περιέχεσθαί τινος. eig. etwas rings umfassen, d. h. sich fest an

οἰκὸς καὶ ἐμὲ μᾶλλον ὑμέων περιέχεσθαι, στρατιῆς τε ἐόντα πολλαπλησίης ἡγεμόνα καὶ νεῶν πολλὸν πλεύνων. ἀλλ' ἐπείτε ὑμῖν ὁ λόγος οὕτω προσάντης κατίσταται, ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρχαίου λόγου. εἰ τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέοισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ, εἰ δὲ ὑμῖν ἡδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν, τοῦ πεζοῦ ἐγὼ ἐθέλω. καὶ ἢ τούτοισι ὑμέας χρεών

161 ἐστι ἀρέσκεσθαι ἢ ἀπιέναι συμμάχων τοσῶνδε ἐρήμους. Γέλων μὲν δὴ ταῦτα προετείνετο, φθάσας δὲ ὁ Ἀθηναίων ἄγγελος τὸν Λακεδαιμονίων ἀμείβετό μιν τοισίδε· Ὦ βασιλεῦ Συρηκοσίων, οὐκ ἡγεμόνος δεομένη ἡ Ἑλλὰς ἀπέπεμψεν ἡμέας πρὸς σὲ, ἀλλὰ στρατιῆς. σὺ δὲ ὅκως μὲν στρατιὴν πέμψεις μὴ ἡγεόμενος τῆς Ἑλλάδος, οὐ προφαίνεις, ὡς δὲ στρατηγήσεις αὐτῆς, γλίχεαι. ὅσον μέν νυν παντὸς τοῦ Ἑλλήνων στρατοῦ ἐδέεο ἡγέεσθαι, ἐξήρκεε ἡμῖν τοῖσι Ἀθηναίοισι ἡσυχίην ἄγειν ἐπισταμένοισι, ὡς ὁ Λάκων ἱκανός τοι ἔμελλε ἔσεσθαι καὶ ὑπὲρ ἀμφοτέρων ἀπολογεόμενος, ἐπείτε δὲ ἁπάσης ἀπελαυνόμενος δέεαι τῆς ναυτικῆς ἄρχειν, οὕτω ἔχει τοι· οὐδ' ἢν ὁ Λάκων ἐπιῇ τοι ἄρχειν αὐτῆς, ἡμεῖς ἐπήσομεν. ἡμετέρη γάρ ἐστι αὕτη γε μὴ αὐτῶν βουλομένων Λακεδαιμονίων. τούτοισι μὲν ὦν ἡγέεσθαι βουλομένοισι οὐκ ἀντιτείνομεν, ἄλλῳ δὲ παρήσομεν οὐδενὶ ναυαρχέειν. μάτην γὰρ ἂν ὧδε πάραλον Ἑλλήνων στρατὸν πλεῖστον εἴημεν κεκτημένοι, εἰ Συρηκοσίοισι ἐόντες

etwas halten, fest an etwas (od. an Jemandem) hangen. Wie hier III 53. V 40.

1. οἰκός in gleicher Bedeutung c. 151 καὶ ἐμὲ μᾶλλον ὑμέων περιέχεσθαι kurz für: καὶ ἐμὲ περιέχεσθαι καὶ μᾶλλον ὑμέων.

4. εἰ — μέν. Ueber die Responsion μὲν — δὲ — δὲ — (δέ) s. z. c. 157.

7. ἀρέσκεσθαι. Schlechtere Handschriften: ἀρκέεσθαι.

161. 8. προετείνετο. προτείνεσθαι (vgl. ὑποτείνειν c. 158) steht in gleicher Bedeutung V 24.

13. ὅσον erg. χρόνον = so lange als.

15. ἱκανός εἰμι hier nach Analogie von ἀρκέω mit Particip (ἀπολογεόμενος) verbunden.

16. ἁπάσης erg. στρατιῆς, was als Hauptbegriff (s. oben 11) vorschwebt; vgl. auch im Folgenden τῆς ναυτικῆς.

17. οὕτω ἔχει τοι. Dieselbe Formel V 1 οὕτω τοι, Ἱστιαῖε, ἔχει κατὰ ταῦτα τὰ πρήγματα.

18. ἐπιῇ von ἐπιέναι (= ἐφιέναι) permittere, wie I 90. III 113.

19. μὴ — βουλομένων. μή weil das Participium ein hypothetisches Verhältnis ausdrückt. Vgl. c. 214 (μὴ ἐὼν Μηλιεύς).

21. πάραλον = ναυτικόν, wol nur hier mit στρατός verbunden. Ἑλλήνων ist von πλεῖστον abhängig.

22. εἰ — συγχωρήσομεν. εἰ c. Indic. Fut. in protasi unterscheidet sich im Gedanken nur wenig von ἤν c. Conj. und εἰ c. Opt. Vgl. III 38 εἰ μὲν — μεταμελήσει, wo im zweiten Gliede mit ἢν δὲ μὴ μεταμέληται gewechselt ist. — συγχωρέειν ist hier, wie sonst παραχωρέ-

Ἀθηναῖοι συγχωρήσομεν τῆς ἡγεμονίης, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων, τῶν καὶ Ὅμηρος ὁ ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπικέσθαι τάξαι τε καὶ διακοσμῆσαι στρατόν. οὕτω οὐκ ὄνειδος ἡμῖν ἐστὶ οὐδὲν λέγειν ταῦτα. Ἀμείβετο Γέλων τοισίδε· 162
Ξεῖνε Ἀθηναῖε, ὑμεῖς οἴκατε τοὺς μὲν ἄρχοντας ἔχειν, τοὺς δὲ ἀρξομένους οὐκ ἕξειν. ἐπεὶ τοίνυν οὐδὲν ὑπιέντες ἔχειν τὸ πᾶν ἐθέλετε, οὐκ ἂν φθάνοιτε τὴν ταχίστην ὀπίσω ἀπαλλασσόμενοι καὶ ἀγγέλλοντες τῇ Ἑλλάδι, ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται. [Οὗτος δὲ ὁ νόος τοῦδε τοῦ ῥήματος, τὸ ἐθέλει λέγειν· δῆλα γάρ, ὡς ἐν τῷ ἐνιαυτῷ ἐστὶ τὸ ἔαρ δοκιμώτατον, τῆς δὲ τῶν Ἑλλήνων στρατιῆς τὴν

ειν, mit Genetiv verbunden; wol nur hier so.

1. ἀρχαιότατον ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων. Auf das Alter ihres Stammes und ihre Autochthonenschaft legten die Athener namentlich den Spartanern gegenüber groszes Gewicht. Vgl. I 56 und vor allen Thuk. I 2 τὴν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί und II 36 τὴν γὰρ χώραν ἀεὶ οἱ αὐτοὶ οἰκοῦντες (οἱ πρόγονοι ἡμῶν) διαδοχῇ τῶν ἐπιγιγνομένων μέχρι τοῦδε ἐλευθέραν δι' ἀρετὴν παρέδοσαν. Aehnliche Aussprüche finden sich viel bei den attischen Rednern und Dichtern; vgl. besonders Isokr. Panegyr. IV §. 24.

3. ἄνδρα. Verb. ἄνδρα ἄριστον.

4. τάξαι. Gemeint ist Menestheus. Vgl. Hom. Il. II 554:

τῶν αὖθ' ἡγεμόνευε υἱὸς Πετεῶο Μενεσθεύς,
τῷ δ' οὔ πώ τις ὁμοῖος ἐπιχθόνιος γένετ' ἀνὴρ
κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας·
Νέστωρ δ' οἶος ἔριζεν.

ὄνειδος. So (d. h. gemäsz der vorhergegangenen Ausführung und Begründung) kann man uns keinen Vorwurf (ὄνειδος) daraus machen, dies hier vorzubringen, dasz nämlich uns, nicht euch, der Oberbefehl zur See gebührt.

162. 7. ἀρξομένους passivisch wie c. 159.

7. ὑπιέντες mit Bezugnahme auf ἐπιῇ und ἐπήσομεν c. 161.

8. οὐκ ἂν φθάνοιτε — ἀπαλλασσόμενοι erkläre nach der bei den Attikern häufig vorkommenden Formel οὐκ ἂν φθάνοις in Verbindung mit einem Particip. So heiszt οὐκ ἂν φθάνοις λέγων eig. du möchtest wol mit deiner Rede nicht zuvorkommen, oder du kannst mit deiner Rede nicht früh genug kommen d. h. du sollst sofort reden. Es wird also in der Formel οὐκ ἂν φθάνοις (oder φθάνοιτε) mit Partic. unter einer milderen Form eine nachdrückliche Aufforderung zum sofortigen Handeln ausgesprochen, so dasz in dieser Redeweise geradezu die Bedeutung eines Imperativs liegt. Vgl. Arist. Plut. 875 οὐ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως οὐκ ἂν φθάνοις. Häufig so bei Plato, z. B. Sympos. 185[e].

τὴν ταχίστην. S. z. c. 48.

ὀπίσω ἀπαλλασσόμενοι. Dieselbe Abundanz I 17. Vgl. VI 192 ἀπενόστησαν ὀπίσω. Aehnliche pleonastische Verbindungen sind häufig bei Herodot. Vgl. c. 163 ὀπίσω ἀπάγειν c. 225 ἀνεχώρεον ὀπίσω. S. z. III 16.

10. ἔαρ. Dasselbe Bild soll Perikles in einer Leichenrede gebraucht haben. Vgl. Arist. Rhet. I 7 οἷον Περικλῆς τὸν ἐπιτάφιον λέγων, τὴν νεότητα ἐκ τῆς πόλεως ἀνῃρῆσθαι

ἑωυτοῦ στρατιήν. στερισκομένην ὦν τὴν Ἑλλάδα τῆς ἑωυτοῦ συμμαχίης εἴκαζε ὡς εἰ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ ἐξαραιρημένον εἴη.]

163 *Οἱ μὲν δὴ τῶν Ἑλλήνων ἄγγελοι τοσαῦτα τῷ Γέλωνι χρηματισάμενοι ἀπέπλωον, Γέλων δὲ πρὸς ταῦτα δείσας μὲν περὶ τοῖσι Ἕλλησι, μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερβαλέσθαι, δεινὸν δὲ καὶ οὐκ ἀνασχετὸν ποιησάμενος ἐλθὼν ἐς Πελοπόννησον ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ἐὼν Σικελίης τύραννος, ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὁ δὲ ἄλλης εἴχετο· ἐπείτε γὰρ τάχιστα ἐπύθετο τὸν Πέρσην διαβεβηκότα τὸν Ἑλλήσποντον, πέμπει πεντηκοντέροισι τρισὶ Κάδμον τὸν Σκύθεω ἄνδρα*

ὥσπερ τὸ ἔαρ ἐκ τοῦ ἐνιαυτοῦ εἰ ἐξαιρεθείη. S. ebend. III 10. — Dieses der Erklärung durchaus nicht bedürftige Bild ist im Folgenden von einem Interpolator höchst ungeschickt erklärt; Gedanke wie Sprache lassen die Worte *οὗτος δὲ ὁ νόος — ἐξαραιρημένον εἴη* als einen späteren Zusatz erscheinen, der unmöglich von Herodot herrühren kann.

163. 5. *πρὸς ταῦτα* causal. S. z. c. 173.

δείσας περὶ τοῖσι Ἕλλησι. δείδειν περί τινι = timere alicui (de aliquo).

6. *ὑπερβάλλεσθαι* mit Accus. auch c. 168. Wie hier V 124. VI 13.

9. *ἠμέλησε. ἀμελεῖν* mit dem (seltneren) Accus. auch bei Eur. Ion. 439 *παῖδας θνήσκοντας ἀμελεῖ*.

ὁ δέ. S. z. c. 6.

11. *Κάδμον τὸν Σκύθεω*. Vermuthlich war Kadmos ein Sohn jenes Skythes, von welchem Herodot VI 23 erzählt, dasz ihm, dem Beherscher von Zankle (c. 154), diese Stadt durch die Samier entrissen, worauf er zum Dareios nach Persien geflohen sei und bei diesem eine ehrenvolle Aufnahme gefunden habe. Es scheint nun, dasz ihm Dareios als Ersatz für das verlorene Zankle die Herschaft über die Insel Kos übertragen hat (c. 164), welche er indes bald, da er sich nach seiner Heimat zurücksehnte, an seinen Sohn Kadmos abgetreten haben musz. Aber auch dieser entsagte bald der Herschaft (c. 164) und kehrte mit vielen koischen Familien, unter anderen auch mit dem berühmten Komödiendichter Epicharmos, nach Zankle zurück. So muszte gerade Kadmos, als früherer Untertan und Günstling des Groszkönigs, dem Gelon als Unterhändler besonders geeignet erscheinen. — Dieser (zuerst von Perizonius ausgesprochenen) Vermutung, dasz Kadmos ein Sohn des VI 23 erwähnten Skythes gewesen sei, widerstreitet allerdings die von Herodot c. 164 gemachte beiläufige Bemerkung, dasz Kadmos zugeich mit den Samiern (*ἔνθα μετὰ Σαμίων ἔσχε τε καὶ κατοίκησε πόλιν Ζάγκλην*) Zankle in Besitz genommen habe, da (nach VI 23) diese es vielmehr schon einige Zeit vorher dem Skythes entrissen und ihn selbst zur Flucht nach Asien genötigt haben sollen. Dieser Widerspruch kann nur durch die Annahme beseitigt werden, dasz Kadmos nicht mit den Samiern, sondern erst mit Anaxilaos, dem Tyrannen von Rhegion, welcher den Samiern das erst mit seiner Hülfe von diesen in Besitz genommene Zankle bald darauf entriss (Thuk. VI 5), in seine Heimatstadt zurückgekehrt und durch diesen in den Besitz seines ihm durch die Samier geraubten väterlichen Erbes gelangt sei. Demgemäsz müszten wir annehmen, dasz Herodot die erste Eroberung Zankle's durch die Samier mit der zweiten durch Anaxilaos

*Κῷον ἐς Δελφούς, ἔχοντα χρήματα πολλὰ καὶ φιλίους λόγους,
καραδοκήσοντα τὴν μάχην τῇ πεσέεται, καὶ ἢν μὲν ὁ βάρβαρος
νικᾷ, τά τε χρήματα αὐτῷ διδόναι καὶ γῆν τε καὶ ὕδωρ τῶν
ἄρχει ὁ Γέλων, ἢν δὲ οἱ Ἕλληνες, ὀπίσω ἀπάγειν. Ὁ δὲ Κάδ-* 164
*μος οὗτος πρότερον τούτων παραδεξάμενος παρὰ πατρὸς τὴν
τυραννίδα Κῴων εὖ βεβηκυῖαν, ἑκών τε εἶναι καὶ δεινοῦ
ἐπιόντος οὐδενός, ἀλλ' ἀπὸ δικαιοσύνης, ἐς μέσον Κῴοισι κα-
ταθεὶς τὴν ἀρχὴν οἴχετο ἐς Σικελίην, ἔνθα μετὰ Σαμίων ἔσχε
τε καὶ κατοίκησε πόλιν Ζάγκλην τὴν ἐς Μεσσήνην μεταβαλοῦ-
σαν τὸ οὔνομα. τοῦτον δὲ ὁ Γέλων τὸν Κάδμον καὶ τοιούτῳ
τρόπῳ ἀπικόμενον διὰ δικαιοσύνην, τήν οἱ αὐτὸς ἄλλην συνή-
δεε ἐοῦσαν, ἔπεμπε, ὃς ἐπὶ τοῖσι ἄλλοισι δικαίοισι τοῖσι ἐξ*

verwechselt habe, eine Annahme, die in Herodots eigenen Worten: *ἔσχε τε καὶ κατοίκησε πόλιν Ζάγκλην τὴν ἐς Μεσσήνην μεταβαλοῦσαν τὸ οὔνομα* eine Bestätigung findet, da wir wissen, dasz Zankle nicht durch die Samier, sondern erst durch Anaxilaos den Namen Messana erhielt (Thuk. VI 5).

1. *φιλίους λόγους*, die wie die Schätze für den König bestimmt waren, falls er, wie zu erwarten stand, siegte. Zum Ausdruck vgl. VIII 206 *ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους*.

2. *καραδοκέειν* bei Her. noch c. 168. VIII 67.

τῇ πεσέεται. Dieselbe Wendung c. 168. Anders VIII 67 *ἐκαραδόκεον τὸν πόλεμον κῇ ἀποβήσεται*. — *πίπτειν* zunächst vom Fallen der Würfel heiszt dann auch ausfallen von zufälligen Ereignissen; auch bei Plat. Leg. IV 709 *ξυμφοραὶ παντοῖαι πίπτουσαι*.

3. *γῆν τε καὶ ὕδωρ*. S. z. c. 131.

τῶν ἄρχει, von Seiten derer, über welche G. herscht.

4. *ὀπίσω ἀπάγειν*, Ueber die Abundanz s. z. c. 162.

164. 5. *τὴν τυραννίδα Κῴων*. Ueber die Sache s. z. c. 163. — *εὖ βεβηκώς* eig. gut stehend, d. h. fest begründet. Von Personen bei Archil. fr. 58 *οἱ θεοὶ πολλάκις ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας ὑπτίους κλίνουσι*.

6. *ἑκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενός*. Ueber derartige Verbindungen s. z. c. 9 (S. 12). — Ueber den bei *ἑκών* pleonastischen Infinitiv s. z. c. 104.

7. *ἀπό* = wegen, aus. *ἀπό* bezeichnet das Ausgehen einer Wirkung sowol von Personen als Sachen (oder wie hier von Eigenschaften). Vgl. IV 78 *πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ην ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο*. Aehnlich I 209. II 42. — Schlechtere Handschriften: *ὑπό*.

ἐς μέσον καταθείς. Vgl. III 42 *ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν προαγορεύω* und in gleichem Sinne rät Otanes in der Versammlung der Sieben (III 80) *ἐς μέσον Πέρσῃσι καταθεῖναι τὰ πρήγματα*.

8. *μετὰ Σαμίων* richtiger: *μετ' Ἀναξίλεω*. S. z. c. 163.

11. *τήν οἱ — συνήδεε ἐοῦσαν*. *σύνοιδά τινί τι*, ich weisz etwas von einem. Vgl. VIII 113 *ἐξελέγετο κατ' ὀλίγους τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων καὶ εἴ τέοισί τε χρηστὸν συνήδεε πεποιημένον*. So noch V 24. IX 58. — *ἄλλην* ist auf ähnliche Weise in den Relativsatz gezogen (wir erwarteten es eigentlich mit *δικαιοσύνην* verbunden) wie *ἄλλοισι* IV 99 *πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι οἴκε ἡ Ταυρική* (= *πολλὰ ἄλλα λέγω παρόμοια, τοῖσι οἴκε ἡ Ταυρική*).

12. *ἐπί* c. dat. in temporaler Bedeutung. S. z. c. 19.

ἑωυτοῦ ἐργασμένοισι καὶ τόδε οὐκ ἐλάχιστον τούτων ἐλίπετο· κρατήσας γὰρ μεγάλων χρημάτων, τῶν οἱ Γέλων ἐπετράπετο, παρεὸν κατασχέσθαι οὐκ ἠθέλησε, ἀλλ' ἐπεὶ οἱ Ἕλληνες ἐπεκράτησαν τῇ ναυμαχίῃ καὶ Ξέρξης οἰχώκεε ἀπελαύνων, καὶ δὴ καὶ ἐκεῖνος ἀπίκετο ἐς τὴν Σικελίην ἅπαντα τὰ χρήματα ἄγων.
165 Λέγεται δὲ καὶ τάδε ὑπὸ τῶν ἐν Σικελίῃ οἰκημένων, ὡς ὅμως καὶ μέλλων ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ὁ Γέλων ἐβώθησε ἂν τοῖσι Ἕλλησι, εἰ μὴ ὑπὸ Θήρωνος τοῦ Αἰνησιδήμου Ἀκραγαντίνων μουνάρχου ἐξελαθεὶς ἐξ Ἱμέρης Τήριλλος ὁ Κρινίππου τύραννος ἐὼν Ἱμέρης ἐπῆγε ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον Φοινίκων καὶ Λιβύων καὶ Ἰβήρων καὶ Λιγύων καὶ Ἑλισύκων καὶ Σαρδονίων καὶ Κυρνίων τριήκοντα μυριάδας καὶ στρατη-

2. *ἐπετράπετο*, das Medium auch I 96. III 157. V 95; in gleicher Bedeutung steht das Activ c. 52. 156 und öfter.

3. *παρεόν*. S. z. c. 13.

4. *καὶ δὴ καί* dient hier wie c. 1 zur nachdrücklichen Hervorhebung des Nachsatzes.

165. 6. *οἰκημένων*. Zur Bedeutung von *οἰκῆσθαι* s. z. c. 9 (S. 12).

ὅμως steht öfter in Verbindung mit *καί* vor Participien, um den Gegensatz stärker hervorzuheben (*ὅμως καί* = obgleich). Wie hier V 63 *Λακεδαιμόνιοι πέμπουσι Ἀγχιμόλιον σὺν στρατῷ ἐξελέοντα Πεισιστρατίδας ἐξ Ἀθηνέων ὅμως καὶ ξείνους σφι ἐόντας τὰ μάλιστα*.

8. *Θήρωνος*. Theron, Sohn des Ainesidemus (c. 154) und Freund wie Waffengenosse Gelons, stammte aus der alten und berühmten Familie der Emmeniden, welche mit dem uralten Geschlechte der Aigiden von Thera (s. z. IV 149) verwandtschaftlich zusammenhieng und somit ihren Ursprung bis auf Kadmos (aus Theben) zurückführen konnte. Therons Vorfahren waren Mitgründer von Akragas und Gela gewesen; einer derselben, Telemachos, hatte 554 v. Chr. den durch seine Grausamkeit berüchtigten Tyrannen Phalaris gestürzt. Theron, dessen Milde und Gerechtigkeit von Pindar Ol. II 6. 10. 93 gepriesen wird, herschte über Akragas 488—473. *Ἀκράγας* Agrigentum (j. Girgenti) war eine Tochterstadt von Gela; ihre Gründung fällt um 582 v. Chr.

11. *Φοινίκων* Karthager; von ihnen waren die Libyer, die Eingeborenen Afrika's, abhängig (s. IV 97). Im Heere der Karthager dienten ferner die hispanischen Iberer, die Ligurer (= *Λίγυες*), welche letzteren an der Südküste Galliens und des benachbarten Italiens bis zu den Apenninen hin sassen; die Helisyken scheinen eine einzelne Völkerschaft derselben gewesen zu sein (s. V 9). Auch Sardonier (Sardinier) und Kyrnier aus Korsika) wurden zu dem Heereszuge aufgeboten. Vgl. Diodor IX 7 *Καρχηδόνιοι μὲν πλῆθος χρημάτων ἀθροίσαντες μισθοφόρους συνῆγον ἔκ τε τῆς Ἰταλίας καὶ Λιγυστικῆς, ἔτι δὲ Γαλατίας καὶ Ἰβηρίας*. Auch Diodor gibt die Stärke des Heeres auf 300,000 Krieger an. — Nach demselben Historiker (vgl. Diodor XI 20 und XI 1 und Ephor. fr. 111 Didot) war der gleichzeitige Angriff der Barbaren von Osten und Süden gegen die hellenische Welt nach vertragsmäsziger Uebereinkunft zwischen Persern und Puniern unternommen. „Allein die Karthager hatten auch ohne eine solche Aufforderung Grund genug, die altphönizischen Ansiedelungen auf der Insel Motye, Panormos, Soloeis gegen die zunehmende Macht der Griechen aufs nachdrücklichste zu schir-

γὸν αὐτῶν Ἀμίλκαν τὸν Ἄννωνος, Καρχηδονίων ἐόντα βασι-
λέα, κατὰ ξεινίην τε τὴν ἑωυτοῦ ὁ Τήριλλος ἀναγνώσας, καὶ
μάλιστα διὰ τὴν Ἀναξίλεω τοῦ Κρητίνεω προθυμίην, ὃς Ῥη-
γίου ἐὼν τύραννος τὰ ἑωυτοῦ τέκνα δοὺς ὁμήρους Ἀμίλκᾳ
ἐπῆγε ἐπὶ τὴν Σικελίην τιμωρέων τῷ πενθερῷ. Τηρίλλου γὰρ
εἶχε θυγατέρα Ἀναξίλεως, τῇ οὔνομα ἦν Κυδίππη. οὕτω δὴ
οὐκ οἷόν τε γενόμενον βωθέειν τὸν Γέλωνα τοῖσι Ἕλλησι ἀπο-
πέμπειν ἐς Δελφοὺς τὰ χρήματα. Πρὸς δὲ καὶ τάδε λέγουσι, 166
ὡς συνέβη τῆς αὐτῆς ἡμέρης ἔν τε τῇ Σικελίῃ Γέλωνα καὶ
Θήρωνα νικᾶν Ἀμίλκαν τὸν Καρχηδόνιον καὶ ἐν Σαλαμῖνι
τοὺς Ἕλληνας τὸν Πέρσην. τὸν δὲ Ἀμίλκαν Καρχηδόνιον
ἐόντα πρὸς πατρὸς, μητρόθεν δὲ Συρηκόσιον, βασιλεύσαντά
τε κατ᾽ ἀνδραγαθίην Καρχηδονίων, ὡς ἡ συμβολή τε ἐγίνετο
καὶ ὡς ἑσσοῦτο τῇ μάχῃ, ἀφανισθῆναι πυνθάνομαι· οὔτε γὰρ
ζώοντα οὔτε ἀποθανόντα φανῆναι οὐδαμοῦ γῆς· τὸ πᾶν γὰρ
ἐπεξελθεῖν διζήμενον Γέλωνα. Ἔστι δὲ ὑπ᾽ αὐτῶν Καρχηδο- 167

men. Seitdem Gelon von Syrakus und Theron von Akragas den grözsten Teil der Insel unter ihre Herschaft gebracht und durch Bündnis und Verwandtschaft vereinigt nach gemeinsamen Zielen strebten und der gesammten Griechenwelt im Westen als Halt und Mittelpunkt dienten, waren die punischen Besitzungen und Handelsplätze in Gefahr, den Hellenen unterwürfig zu werden.“ S. z. c. 158.

2. *κατὰ ξεινίην* mit Amilkas.

ὁ Τήριλλος. Wegen des längeren Zwischensatzes ist der Deutlichkeit halber das Subject wiederholt. Ganz wie hier V 1. 99. VI 13.

ἀναγνώσας=*ἀναπείσας*. Ebenso c. 144.

3. *Ἀναξίλεω*. Ueber ihn s. z. c. 164.

7. *οἷόν τε γενόμενον*. Verb. οὕτω δὴ τὸν Γέλωνα, οὐκ οἷόν τε γενόμενον βωθέειν τοῖσι Ἕλλησι, ἀποπέμπειν τὰ χρήματα. Das Ganze ist noch abhäugig von *λέγεται* im Anfange des Capitels.

166. 8. *πρὸς δέ* adverbial. S. z. c. 154 (*καὶ πρός*).

9. *τῆς αὐτῆς ἡμέρης*. Derselbe temporale Genetiv V 36 (*τοῦ αὐτοῦ χρόνου*).

10. *νικᾶν*, in der Schlacht bei Himera, die nach Herodot an demselben Tage, wie die zu Salamis, nach Diodor (XI 24) an demselben Tage, wie die zu Thermopylae stattfand. Möglicherweise sind beide Angaben gleich unrichtig. Vgl. Arist. Poet. 23 *κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ᾽ ἐν Σαλαμῖνι ἐγένετο ναυμαχία καὶ ἡ ἐν Σικελίᾳ Καρχηδόνων.* — Den Hergang erzählt Diodor XI 21—24 (wahrscheinlich nach Ephoros) sehr genau, doch leidet seine Darstellung offenbar an Uebertreibungen. Nach ihm fielen auf Seiten der Karthager 150,000 Mann und von den 200 Schiffen entkamen nur 20 mit wenigen Flüchtlingen; aber auch dieser kleine Rest wurde auf hoher See durch einen Sturm vernichtet und nur ein kleines Boot brachte die unheilvolle Kunde nach Karthago.

12. *μητρόθεν Συρηκόσιον*. Es fand also Connubium zwischen Karthago und Syrakus statt, was sich durch die Handelsverbindungen beider Städte zur Genüge erklärt.

15. *τὸ πᾶν* steht in gleichem Sinne I 85. VI 88.

νίων ὅδε ὁ λόγος λεγόμενος, οἰκότι χρεομένων, ὡς οἱ μὲν βάρβαροι τοῖσι Ἕλλησι ἐν τῇ Σικελίῃ ἐμάχοντο ἐξ ἠοῦς ἀρξάμενοι μέχρι δείλης ὀψίης (ἐπὶ τοσοῦτο γὰρ λέγεται ἑλκύσαι τὴν σύστασιν), ὁ δὲ Ἀμίλκας ἐν τούτῳ τῷ χρόνῳ μένων ἐν τῷ στρατοπέδῳ [ἐθύετο καὶ] ἐκαλλιρέετο ἐπὶ πυρῆς μεγάλης σώματα ὅλα καταγίζων, ἰδὼν δὲ τροπὴν τῶν ἑωυτοῦ γινομένην, ὡς ἔτυχε ἐπισπένδων τοῖσι ἱροῖσι, ὦσε ἑωυτὸν ἐς τὸ πῦρ· οὕτω δὴ κατακαυθέντα ἀφανισθῆναι. ἀφανισθέντι δὲ Ἀμίλκᾳ τρόπῳ εἴτε τοιούτῳ, ὡς Φοίνικες λέγουσι, εἴτε ἑτέρῳ, Καρχηδόνιοι τοῦτο μέν οἱ θύουσι, τοῦτο δὲ μνήματα ἐποίησαν ἐν πάσῃσι τῇσι πόλισι τῶν ἀποικίδων, ἐν αὐτῇ τε μέγιστον Καρχηδόνι. Τὰ μὲν ἀπὸ Σικελίης τοσαῦτα.

168 *Κερκυραῖοι δὲ τάδε ὑποκρινάμενοι τοῖσι ἀγγέλοισι τοιάδε ἐποίησαν· καὶ γὰρ τούτους παρελάμβανον οἱ αὐτοὶ οἵπερ καὶ ἐς Σικελίην ἀπίκατο, λέγοντες τοὺς αὐτοὺς λόγους τοὺς καὶ πρὸς Γέλωνα ἔλεγον. οἱ δὲ παραυτίκα μὲν ὑπίσχοντο πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες, ὡς οὔ σφι περιοπτέη ἐστὶ ἡ Ἑλλὰς ἀπολλυμένη (ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δου-*

167. 1. *οἰκότι χρεομένων.* Vollständiger III 111 *οἰκότι λόγῳ χρεόμενοι.* Vgl. c. 129 *οἰκότα λέγων.* S. z. c. 103.

3. *ἑλκύσαι.* Man erklärt: bis dahin soll sich hingezogen haben. Andere ergänzen als Subjectsaccusativ: *τοὺς μαχομένους.* Sollte *ἑλκύσθαι* zu lesen sein? — Ueber *λέγεται* mit Accus. c. Inf. s. z. c. 56.

5. *ἐκαλλιρέετο.* S. z. c. 113.

σώματα ὅλα. Die Opfer ganz zu verbrennen, war alte Sitte der Phöniker (und somit auch der Karthager). In späterer Zeit verbrannten sie (wie die Hellenen) die Opfer nur in besonderen Fällen ganz.

8. *κατακαυθέντα ἀφανισθῆναι.* Nach Diodor XI 22 wurde Amilkas gleich im Anfange der Schlacht während des Opferns von den Reitern des Gelon erschlagen. Vgl. Polyaen. I 27, 2.

10. *τοῦτο μὲν — τοῦτο δέ.* S. z. c. 6.

οἱ nimmt der Deutlichkeit halber *ἀφανισθέντι Ἀμίλκᾳ* wieder auf. S. z. c. 147.

θύουσι. Die Karthager sahen also den Tod des Amilkas als eine Todesweihe an. — Movers (Phoenik. I 612) vermutet, dasz, wenn Herodot hier dem Amilkas göttliche Verehrung beilege, dies auf einer Verwechslung mit dem tyrisch-karthagischen Melkarth beruhe, da bei den Phoenikern Heroenculte nicht üblich gewesen seien.

μνήματα monumenta (c. 228).

11. *ἀποικίδων. ἀποικίς* (sc. *πόλις*) ist hier in der allgemeineren Bedeutung von *ἀποικία* Ansiedelung gebraucht.

168. Gesandtschaft an die Kerkyraeer (c. 168) und Kreter (c. 169). Vorgeschichtliches von Kreta (Minos Tod. Ansiedelung der Kreter in Iapygia. Entvölkerung Kreta's (c. 170. 171).

14. *παρελάμβανον* de conatu. Ueber die Bedeutung von *παραλαμβάνειν* s. z. c. 157.

17. *περιοπτέη.* S. z. c. 16 S. 24 (*περιορᾶν*).

18. *οὐδὲν ἄλλο ἤ.* In dieser elliptischen Formel musz genau so

λεύσουσι τῇ πρώτῃ τῶν ἡμερέων), ἀλλὰ τιμωρητέον εἴη ἐς τὸ δυνατώτατον. ὑπεκρίναντο μὲν οὕτω εὐπρόσωπα, ἐπεὶ δὲ ἔδεε βωθέειν, ἄλλα νοεῦντες ἐπλήρωσαν νέας ἑξήκοντα, μόγις δὲ ἀναχθέντες προσέμιξαν τῇ Πελοποννήσῳ, καὶ περὶ Πύλον καὶ Ταίναρον γῆς τῆς Λακεδαιμονίων ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον τῇ πεσέεται, ἀελπτέοντες μὲν τοὺς Ἕλληνας ὑπερβαλέεσθαι, δοκέοντες δὲ τὸν Πέρσην κατακρατήσαντα πολλὸν ἄρξειν πάσης τῆς Ἑλλάδος. ἐποίευν ὦν ἐπίτηδες, ἵνα ἔχωσι πρὸς τὸν Πέρσην λέγειν τοιάδε· Ὦ βασιλεῦ, ἡμεῖς παραλαμβανόντων τῶν Ἑλλήνων ἡμέας ἐς τὸν πόλεμον τοῦτον ἔχοντες δύναμιν οὐκ ἐλαχίστην οὐδὲ νέας ἐλαχίστας παρασχόντες ἄν, ἀλλὰ πλείστας μετά γε Ἀθηναίους, οὐκ ἠθελήσαμέν τοι ἀντιοῦσθαι οὐδέ τι ἀποθύμιον ποιῆσαι. Τοιαῦτα λέγοντες ἤλπιζον πλέον τι τῶν ἄλλων οἴσεσθαι· τάπερ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει. πρὸς δὲ τοὺς Ἕλληνάς σφι σκῆψις ἐπεποίητο, τῇπερ δὴ καὶ ἐχρήσαντο· αἰτιευμένων γὰρ τῶν Ἑλλήνων, ὅτι οὐκ ἐβώθεον, ἔφασαν πληρῶσαι μὲν ἑξήκοντα τριήρεας, ὑπὸ δὲ ἐτησιέων ἀνέμων ὑπερβαλέειν Μαλέην οὐκ οἷοί τε γενέσθαι· οὕτω οὐκ ἀπικέσθαι ἐς Σαλαμῖνα, καὶ οὐδεμιῇ κακότητι λειφθῆναι τῆς ναυμαχίης. οὗτοι μὲν οὕτω διεκρούσαντο τοὺς Ἕλληνας.

wie in der gleichbedeutenden Fragformel *ἄλλο τι ἤ* (= nonne?) ein allgemeiner Begriff wie *γίγνεται* (*γενήσεται*) vorschwebend gedacht werden. Vgl. II 14 *ἄλλο τι ἢ οἱ ταύτῃ οἰκέοντες Αἰγυπτίων πεινήσουσι;* Ebenso I 109.

2. *εὐπρόσωπα* = *εὐπρεπέα.*

6. *καὶ οὗτοι* et ipsi, mit Beziehung auf Kadmos (c. 163). — Ueber *τῇ πεσέεται* s. z. demselb. Cap.

7. *ὑπερβαλέεσθαι, τὸν Πέρσην.* Der Ausdruck auch c. 163.

κατακρατήσαντα πολλόν. Das adverbiale *πολλόν* steht in derselben Verbindung VI 138 *πολλὸν ἐπεκράτεον*, V 102 *πολλὸν ἑσσώθησαν.*

9. *ἐπίτηδες* consulto. S. z. c. 44.

10. *παραλαμβανόντων* de conatu. Vgl. c. 150. 170 (*ἐξανίσταντες*).

11. *δύναμιν οὐκ ἐλαχίστην.* Ueber die bedeutende Seemacht Kerkyra's s. Thuk. I 33 *ναυτικόν τε κεκτήμεθα* (sc. *οἱ Κερκυραῖοι*) *πλὴν τοῦ παρ' ὑμῖν πλεῖστον* und I 14 *τὰ τῶν Κερκυραίων πρὸ τῆς Ξέρξου στρατιᾶς ναυτικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη.*

12. *παρασχόντες ἄν.* Beachte die Bedeutung von *ἄν* ebenso wie unten (15) in *τάπερ ἂν καὶ ἐγένετο.*

μετά γε. Genau wie c. 140.

13. *ἀποθύμιον* ist homerisch. Vgl. Il. XIV 261 *ἀποθύμια ἔρδειν τινί.*

16. *σκῆψις* = *πρόφασις.*

18. *ἐτησιέων ἀνέμων. ἐτησίαι* heiszen speciell die Nordostwinde, welche im Sommer nach Aufgang des Hundsgestirns 40 Tage ununterbrochen wehen. Neuere Reisende bestätigen, dasz dieselbe namentlich am Vorgebirge Malea (j. Cap Angelo) besonders heftig sind. Vgl. auch unten c. 188. VIII 12 ff. Die Schlacht bei Salamis fand am 20. September statt.

19. *λειφθῆναι τῆς ναυμαχίης.* Wie hier VIII 44. Vgl. IX 19

169 *Κρῆτες δὲ, ἐπείτε σφέας παρελάμβανον οἱ ἐπὶ τούτοισι ταχθέντες Ἑλλήνων, ἐποίησαν τοιόνδε· πέμψαντες κοινῇ θεοπρόπους ἐς Δελφοὺς τὸν θεὸν ἐπειρώτεον, εἴ σφι ἄμεινον γίνεται τιμωρέουσι τῇ Ἑλλάδι. ὁ δὲ Πυθίη ὑπεκρίνατο· Ὦ νήπιοι, ἐπιμέμνησθε, ὅσα ὑμῖν ἐκ τῶν Μενέλεῳ τιμωρημάτων Μίνως ἔπεμψε μηνίων δακρύματα, ὅτι οἱ μὲν οὐ συνεξεπρήξαντο αὐτῷ τὸν ἐν Καμικῷ θάνατον γενόμενον, ὑμεῖς δὲ ἐκείνοισι τὴν ἐκ Σπάρτης ἁρπασθεῖσαν ὑπ' ἀνδρὸς βαρβάρου γυναῖκα. Ταῦτα οἱ Κρῆτες ὡς ἀπενειχθέντα ἤκουσαν, ἔσχοντο*
170 *τῆς τιμωρίης. Λέγεται γὰρ Μίνων κατὰ ζήτησιν Δαιδάλου ἀπικόμενον ἐς Σικανίην, τὴν νῦν Σικελίην καλεομένην, ἀποθανεῖν βιαίῳ θανάτῳ. ἀνὰ δὲ χρόνον Κρῆτας θεοῦ σφέας*

οἱ λοιποὶ Πελοποννήσιοι οὐκ ἐδικαίευν λείπεσθαι τῆς ἐξόδου (τῶν Λακεδαιμονίων).

169. 1. ἐπὶ τούτοισι „zu diesen Unterhandlungen.“ Vgl. II 38 ὁ ἐπὶ τούτῳ τεταγμένος.

3. ἄμεινον γίνεσθαι. Aehnliche Wendungen sind ἄμεινον πρήσσειν (IV 156), ἄμεινον εἶναι (IV 15) oder ἄμεινον συνοίσεσθαι (V 82).

5. ἐπιμέμνησθε (= mementote). Die Handschriften: ἐπιμέμφεσθε, was, auch fragend genommen („Findet ihr geringfügig“ u. s. w.), keinen genügenden Sinn gibt. Für ἐπιμέμνησθε spricht c. 171 ἡ μὲν Πυθίη ὑπομνήσασα ταῦτα. Schon Reiske vermutete dem Sinne nach vollständig richtig: οὔ τι μέμνησθε.

ἐκ in Folge. S. z. c. 137. ἐκ τῶν Μενέλεῳ τιμωρημάτων. τιμώρημα mit Dativ verbunden, indem im Substantiv der Verbalbegriff vorherscht (τιμωρέειν τινί). Aehnliche Verbindungen sind nicht selten im Griechischen. Vgl. ἡ τοῖς θεοῖς δουλεια — τὰ ἀνθρώποισι ὠφελήματα — αὕτη τις βοήθεια ἑαυτῷ πολλάκις ἡμῖν ὡμολόγηται κρατίστη εἶναι. So auch c. 169 τιμωροὶ Ταραντίνοισι. — Gemeint sind an unserer Stelle die Hülfsleistungen der Kreter (unter Idomeneus und Meriones) im troischen Kriege.

6. μηνίων. μηνίειν auch c. 229. δακρύματα. Vgl. c. 171 ἀντὶ τούτων δέ σφι ἀπονοστήσασι ἐκ Τροίης λιμόν τε καὶ λοιμὸν γενέσθαι καὶ αὐτοῖσι καὶ τοῖσι προβάτοισι.

οἱ μέν, die Hellenen.

συνεξεπρήξαντο, in gleicher Bedeutung c. 158.

7. ὑμεῖς δέ erg. συνεξεπρήξασθε. Für ἁρπασθεῖσαν — γυναῖκα erwartete man τὰς γυναικὸς ἁρπαγάς. Vgl. V 94 ὅσοι Ἑλλήνων συνεξεπρήξαντο Μενέλεῳ τὰς Ἑλένης ἁρπαγάς. Da an unserer Stelle sich die Substantiva gehäuft haben würden, so ist statt des einen Substantivs die Umschreibung mit dem Particip gewählt (ἡ ἁρπασθεῖσα γυνή = ἡ γυναικὸς ἁρπαγή, worüber zu I 6 zu vergleichen).

9. ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν ist eine bei Herod. öfter wiederkehrende Wendung (I 66. 159. 160. V 89).

ἔσχοντο τῆς τιμωρίης. Vgl. V 85 ἔσχοντο (= ἀπέσχοντο) τῆς ἀγωγῆς und unt. c. 237 ἔχεσθαι κακολογίης.

179. 11. Σικανίην. Ueber die zeitliche Aufeinanderfolge der ältesten Einwanderungen in Sicilien vgl. Thuk. VI 2. Die Σικανοί sollten aus Gallien, die Σικελοί aus Italien in Sicilien eingewandert sein.

12. βιαίῳ θανάτῳ. Durch die Töchter des Kokalos, des Königs von Kamikos, bei welchem Daidalos Aufnahme gefunden hatte. Als Minos

ἐποτρύναντος, πάντας πλὴν Πολιχνιτέων τε καὶ Πραισίων, ἀπικομένους στόλῳ μεγάλῳ ἐς Σικανίην πολιορκέειν ἐπ' ἔτεα πέντε πόλιν Καμικὸν, τὴν κατ' ἐμὲ Ἀκραγαντῖνοι ἐνέμοντο. τέλος δὲ οὐ δυναμένους οὔτε ἑλεῖν οὔτε παραμένειν λιμῷ συνεστεῶτας, ἀπολιπόντας οἴχεσθαι. ὡς δὲ κατὰ Ἰηπυγίην γενέσθαι πλέοντας, ὑπολαβόντα σφέας χειμῶνα μέγαν ἐκβαλεῖν ἐς τὴν γῆν, συναραχθέντων δὲ τῶν πλοίων (οὐδεμίαν γάρ σφι ἔτι κομιδὴν ἐς Κρήτην φαίνεσθαι), ἐνθαῦτα Ὑρίην πόλιν κτίσαντας καταμεῖναί τε καὶ μεταβαλόντας ἀντὶ μὲν Κρητῶν γενέσθαι Ἰήπυγας Μεσσαπίους, ἀντὶ δὲ τοῦ εἶναι νησιώτας ἠπειρώτας. ἀπὸ δὲ Ὑρίης πόλιος τὰς ἄλλας οἰκίσαι, τὰς δὴ Τα-

dessen Auslieferung verlangte, widersetzten sich die Töchter des Kokalos, weil sie den Daidalos wegen seiner Kunst lieb gewonnen hatten, und erschlugen ihn selbst im Bade.

ἀνὰ χρόνον. S. z. c. 10, VI.

1. *Πολιχνιτέων.* Dasz diese beiden Städte (Polichne lag im Süden, Praisos im Osten der Insel) an dem Rachezuge gegen Sicilien keinen Teil nahmen, hat man nicht unwahrscheinlich daraus erklärt, dasz ihre Einwohner, welche noch in späterer Zeit Kydonen oder Eteokreter, d. i. echte, ursprüngliche Kreter hieszen (vgl. über die ältesten Einwohner Kreta's Her. I 171. 173), alle hellenischen Einwanderer streng ausgeschlossen hatten, während in den übrigen Städten, in welchen von Hellenen (meist Dorern) Niederlassungen gegründet waren, die Bevölkerung eine gemischte war. Dies erfuhr Herodot aus dem Munde der Praisier selbst (c. 171 Anf.).

2. *ἐπ' ἔτεα πέντε.* Ueber *ἐπί* c. accus. s. z. c. 1.

3. *Καμικόν.* Die Stadt lag nach Diodor IV 70 auf einem steilen Felsen, an dessen Fusze später Akragas gegründet wurde. In der Nähe lag die kretische Ansiedelung *Ἡράκλεια Μινώα* (V 43. 46).

κατ' ἐμέ. κατά in Temporalbedeutung. Genau wie hier V 58 *τὸ κατ' ἐμέ* bis auf meine Zeit. Häufiger gebraucht Herodot in diesem Sinne *ἐς ἐμέ* (V 44. VI 42) oder *μέχρι ἐμεῦ* (VI 115).

4. *τέλος.* S. z. c. 16.

λιμῷ συνεστεῶτας. Vgl. IX 89 *λιμῷ συστάντες καὶ καμάτῳ.* S. z. c. 142.

5. *ἀπολιπόντας οἴχοντο.* Das intransitive *ἀπολείπειν* in Verbindung mit *οἴχεσθαι* auch III 48, IV 155.

ὡς — γενέσθαι. Ueber den Infinit. nach *ὡς* s. z. c. 3.

Ἰηπυγίην Calabrien. Vgl. III 138. IV 99.

6. *ὑπολαβόντα.* Vgl. IV 179 *καί μιν ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορέην καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην.* Ebenso VIII 118.

8. *Ὑρίην πόλιν.* Vgl. Strabo p. 282 *ἐπὶ δὲ τῷ Ἰσθμῷ μέσῳ (μεταξὺ Τάραντος καὶ Βρεντεσίου) Οὐρία, ἐν ᾗ βασίλειον ἔτι δείκνυται τῶν δυναστῶν τινος· εἰρηκότος δ' Ἡροδότου Ὑρίαν εἶναι ἐν τῇ Ἰαπυγίᾳ κτίσμα Κρητῶν τῶν πλανηθέντων ἐκ τοῦ Μίνω στόλου τοῦ εἰς Σικελίαν, ἤτοι ταύτην δεῖ δέχεσθαι ἢ τὸ Οὐερητόν.* Noch heute heiszt das Städtchen Oria.

9. *μεταβαλόντας,* man ergänzt leicht: *τὸ οὔνομα,* was sonst meist dabeisteht (c. 73. 164).

ἀντί — γενέσθαι. Ohne *τοῦ* auch I 210. VI 32 (wo es mit Unrecht gegen die Handschriften eingeschoben ist).

10. *Μεσσαπίους. Ἰαπυγίη* hiesz auch *Μεσσαπία.*

11. *οἰκίσαι.* Auch hierzu ist noch *τοὺς Κρῆτας* Subject.

τὰς gehört nur zu *ἐξανιστάντες.*

ραντῖνοι χρόνῳ ὕστερον πολλῷ ἐξανιστάντες προσέπταισαν
μεγάλως, ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο
πάντων τῶν ἡμεῖς ἴδμεν, αὐτῶν τε Ταραντίνων καὶ Ῥηγίνων,
οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι τῶν ἀστῶν καὶ
ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι ἀπέθανον τρισχίλιοι οὕτω·
αὐτῶν δὲ Ταραντίνων οὐκ ἐπῆν ἀριθμός. ὁ δὲ Μίκυθος, οἰ-
κέτης ἐὼν Ἀναξίλεω, ἐπίτροπος Ῥηγίου κατελέλειπτο, οὗτος
ὅσπερ ἐκπεσὼν ἐκ Ῥηγίου καὶ Τεγέην τὴν Ἀρκάδων οἰκήσας
171 ἀνέθηκε ἐν Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας. Ἀλλὰ τὰ μὲν
κατὰ Ῥηγίνους τε καὶ Ταραντίνους τοῦ λόγου μοι παρενθήκη
γέγονε. ἐς δὲ τὴν Κρήτην ἐρημωθεῖσαν, ὡς λέγουσι Πραί-
σιοι, ἐσοικίζεσθαι ἄλλους τε ἀνθρώπους καὶ μάλιστα Ἕλληνας,

Das Relativ nur ans Particip (nicht an das Verbum des Satzes) angeschlossen auch c. 58. 69.

1. *ἐξανιστάντες* de conatu. Vgl. c. 168 (*παραλαμβανόντων*). Vollständiger V 14 *ἐντελλόμενος ἐξαναστῆσαι ἐξ ἠθέων Παίονας*. Ebenso VI 127. Vgl. z. c. 75.

προσέπταισαν μεγάλως. *προσπταίειν μεγάλως* magnam cladem accipere. Auch c. 210. So sehr häufig bei Herodot. In eigentlicher Bedeutung VI 134 *αὐτὸν τὸ γόνυ προσπταῖσαι λέγουσι*. Ebenso oben c. 22. — Ueber den Kampf (474 v. Chr.) vgl. Diodor XI 52.

2. *φόνος μέγιστος — τῶν ἡμεῖς ἴδμεν*. In ähnlicher Wendung äuszert sich Thuk. VII 85 über die Niederlage der Athener in Sicilien: *πλεῖστος γὰρ δὴ φόνος οὗτος καὶ οὐδενὸς ἐλάσσων τῶν ἐν τῷ Σικελικῷ πολέμῳ τούτῳ ἐγένετο*.

3. *αὐτῶν τε Ταραντίνων* ist von *φόνος* abhängig.

4. *τῶν ἀστῶν* hängt von *οἵ* ab. Auch c. 156 ist *τῶν ἀστῶν* ungewöhnlich gestellt.

5. *οὕτω*, bei Gelegenheit dieser Hülfleistung. — Ueber den Dativ bei *τιμωροί* s. z. c. 169 (*ἐκ τῶν Μενέλεῳ τιμωρημάτων*),

6. *οὐκ ἐπῆν ἀριθμός* = numerus non constabat. Genau wie hier c. 191. — Denselben Gedanken spricht Her. IX 32 so aus: *οἶδε οὐδεὶς ἀριθμόν, οὐ γὰρ ὦν ἠριθμήθησαν*.

7. *ἐπίτροπος Ῥηγίου*. So heiszt Aristagoras (V 30) *ἐπίτροπος Μιλήτου*. Hier ist an eine Art Regentschaft zu denken, indem Mikythos die Regierung für die unmündigen Söhne des Anaxilaos verwaltete.

8. *ἐκπεσών* also doch wol auf gewaltsame Weise. Die Veranlassung seiner Vertreibung gibt weder Herodot noch Pausanias (V 26, 4) an. Doch gebraucht der letztere den Ausdruck *ἀπιὼν οἴχετο* (nicht *ἐξέπεσε*). Nach Diodor (XI 48. 66) zog sich Mikythos, nachdem er sich wegen der Führung der Vormundschaft, deretwegen er von seinen Mündeln zur Verantwortung gezogen war, glänzend gerechtfertigt hatte, freiwillig ins Privatleben zurück, indem er die weitere Verwaltung des Erbes, die ihm angeboten war, ausschlug. Er verlebte seine letzten Lebensjahre zu Tegea in Arkadien. Noch Pausanias sah die Weihgeschenke, darunter vorzugsweise Bildsäulen (*ἀνδριάντας*), welche Mikythos dem olympischen Heiligtum gemacht hatte. Vgl. Pausan. V 26, 4 *τὰ δὲ ἀναθήματα ἀνέθηκεν ἐς Ὀλυμπίαν εὐχήν τινα ἐκτελῶν ἐπὶ σωτηρίᾳ παιδὸς νοσήσαντος νόσον φθινάδα*.

171. 10. *παρενθήκη* ist eine episodische Einfügung. Vgl. VI 19.

12. *ἐσοικίζεσθαι*. In den Wendungen *ὡς λέγουσι* (*λέγεται*), *ὡς*

τρίτῃ δὲ γενεῇ μετὰ Μίνων τελευτήσαντα γενέσθαι τὰ Τρωϊκά, ἐν τοῖσι οὐ φλαυροτάτους φαίνεσθαι ἐόντας Κρῆτας τιμωροὺς Μενέλεῳ. ἀντὶ τούτων δέ σφι ἀπονοστήσασι ἐκ Τροίης λιμόν τε καὶ λοιμὸν γενέσθαι καὶ αὐτοῖσι καὶ τοῖσι προβάτοισι, ἔστε τὸ δεύτερον ἐρημωθείσης Κρήτης μετὰ τῶν ὑπολοίπων τρίτους αὐτὴν νῦν νέμεσθαι Κρῆτας. ἡ μὲν δὴ Πυθίη ὑπομνήσασα ταῦτα ἔσχε βουλομένους τιμωρέειν τοῖσι Ἕλλησι.

Θεσσαλοὶ δὲ ὑπὸ ἀναγκαίης τὸ πρῶτον ἐμήδισαν, ὡς διέ- 172
δεξαν, ὅτι οὔ σφι ἥνδανε τὰ οἱ Ἀλευάδαι ἐμηχανέοντο. ἐπείτε γὰρ ἐπύθοντο τάχιστα μέλλοντα διαβαίνειν τὸν Πέρσην ἐς τὴν Εὐρώπην, πέμπουσι ἐς τὸν Ἰσθμὸν ἀγγέλους. ἐν δὲ τῷ Ἰσθμῷ ἦσαν ἡλισμένοι πρόβουλοι τῆς Ἑλλάδος ἀραιρημένοι ἀπὸ τῶν πολίων τῶν τὰ ἀμείνω φρονευσέων περὶ τὴν Ἑλλάδα. ἀπικόμενοι δὲ ἐπὶ τούτους τῶν Θεσσαλῶν οἱ ἄγγελοι ἔλεγον· Ἄνδρες Ἕλληνες, δεῖ φυλάσσεσθαι τὴν ἐσβολὴν τὴν Οὐλυμπικήν, ἵνα Θεσσαλίη τε καὶ ἡ σύμπασα ᾖ Ἑλλὰς ἐν σκέπῃ τοῦ πολέμου. ἡμεῖς μέν νυν ἑτοῖμοί εἰμεν συμφυλάσ-

ἤκουσα, ὡς πυνθάνομαι und ähnl. wirkt das Verbum so auf den Hauptsatz ein, als ob dieses vom Nebensatz abhienge. Ganz wie hier V 44 τὸν χρόνον δὲ τοῦτον, ὡς λέγουσι Συβαρῖται, σφέας τε αὐτοὺς καὶ Τῆλυν τὸν ἑωυτῶν βασιλέα ἐπὶ Κρότωνα μέλλειν στρατεύεσθαι. Ebenso VI 54. Aehnlich unt. c. 229 nach dem eingeschobenen δοκέειν ἐμοί.

1. *τρίτῃ δὲ γενεῇ.* Idomeneus, der Führer der Kreter vor Troia, war ein Sohn des Deukalion und Enkel des Minos. Vgl. Hom. Il. XIII 451.

2. *οὐ φλαυροτάτους.* Litotes. S. z. c. 101.

τιμωροὺς Μενέλεῳ. Der Dativ wie c. 170.

3. *λιμός τε καὶ λοιμός* sind auch von Hes. Op. 241 verbunden:

τοῖσιν δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων,
λιμὸν ὁμοῦ καὶ λοιμόν. ἀποφθινύθουσι δὲ λαοί.

Vgl. auch Her. III 65.

4. *ἔστε* (= ἐς ὅ) mit Infinitiv. S. z. c. 3 (ἐπεὶ — νομίζεσθαι).

5. *τρίτους*, nämlich neue hellenische (meist dorische) Ansiedler.

7. *ἔσχε* cohibuit. Vgl. III 79 εἰ δὲ μὴ νὺξ ἐπελθοῦσα ἔσχε (αὐτούς), ἔλιπον ἂν οὐδένα μάγον. Vgl. auch c. 169 ἔσχοντο (= ἀπέσχοντο).

Verhalten der Thessaler. Die Hellenen besetzen den Tempepasz (c. 172—174).

172. 8. *ὡς διέδεξαν* (att. διέδειξαν), *ὅτι* wie sie es dadurch an den Tag legten, dasz. Aehnlich steht ὡς διέδεξαν VIII 3 und mit nachfolgendem ὅτι IX 58.

9. *οἱ Ἀλευάδαι.* Vgl. c. 130.

ἐπείτε τάχιστα cumprimum.

12. *πρόβουλοι.* S. z. c. 145.

ἀραιρημένοι. Zur Form vgl. c. 83.

13. *τὰ ἀμείνω φρονευσέων.* Aehnlich c. 145.

14. *ἐπὶ τούτους.* ἐπί wird öfter bei dem Auftreten fremder Gesandten vor Jemandem gebraucht. Vgl. III 46 ἐπείτε οἱ ἄγγελοι ἀπίκοντο ἐς Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι. Vgl. ob. c. 149.

15. *τὴν ἐσβολὴν τὴν Οὐλυμπικήν*, den Tempepasz.

16. *ἐν σκέπῃ τοῦ πολέμου ᾖ.* Vgl. I 143 ἐν σκέπῃ τοῦ φόβου ἦσαν

σειν, πέμπειν δὲ χρὴ καὶ ὑμέας στρατιὴν πολλήν, ὡς εἰ μὴ πέμψετε, ἐπίστασθε ἡμέας ὁμολογήσειν τῷ Πέρσῃ· οὐ γάρ τοι προκατημένους τοσοῦτο πρὸ τῆς ἄλλης Ἑλλάδος μούνους πρὸ ὑμέων δεῖ ἀπολέσθαι. βωθέειν δὲ οὐ βουλόμενοι ἀναγκαίην ἡμῖν οὐδεμίαν οἷοί τέ ἐστε προσφέρειν· οὐδαμὰ γὰρ ἀδυνασίης ἀνάγκη κρέσσων ἔφυ. ἡμεῖς δὲ πειρησόμεθα αὐτοί τινα
173 σωτηρίην μηχανεόμενοι. Ταῦτα ἔλεγον οἱ Θεσσαλοί. Οἱ δὲ Ἕλληνες πρὸς ταῦτα ἐβουλεύσαντο ἐς Θεσσαλίην πέμπειν κατὰ θάλασσαν πεζὸν στρατὸν φυλάξοντα τὴν ἐσβολήν. ὡς δὲ συνελέχθη ὁ στρατός, ἔπλωε δι᾽ Εὐρίπου. ἀπικόμενος δὲ τῆς Ἀχαιίης ἐς Ἄλον, ἀποβὰς ἐπορεύετο ἐς Θεσσαλίην, τὰς νέας αὐτοῦ καταλιπών, καὶ ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολήν, ἥπερ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ Πηνειὸν ποταμόν, μεταξὺ δὲ Οὐλύμπου τε οὔρεος ἐόντα καὶ τῆς Ὄσσης. ἐνθαῦτα ἐστρατοπεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους ὁπλῖται συλλεγέντες, καί σφι προσῆν ἡ τῶν Θεσσαλῶν ἵππος. ἐστρατήγεε δὲ Λακεδαιμονίων μὲν Εὐαίνετος ὁ Καρήνου ἐκ τῶν πολεμάρχων ἀραιρημένος, γένεος μέντοι ἐὼν οὐ

=metus tutamen habebant i. e. tuti erant ab metu. Wie hier c. 215.

1. ὡς — ἐπίστασθε. Das causale ὡς (=weil) wird im Deutschen oft besser einen neuen Satz anfangend mit denn übersetzt. Auch ἐπεί wird so gebraucht (c. 103. 152). Vgl. auch ὥστε (= daher).

3. προκατημένους τοσοῦτο „die wir so weit, d. h. in so weiter Entfernung (= τοσοῦτο) von dem übrigen Griechenland wohnen“ und der Gefahr daher am meisten ausgesetzt sind.

5. οὐδαμὰ — κρέσσων ἔφυ. Diese Worte enthalten in Form einer allgemeinen Sentenz dasselbe, was schon vorher ausgesprochen war. „Ihr könnt uns nicht zwingen unmögliches zu leisten“ denn in das Bereich der Unmöglichkeit gehört es, dasz wir allein, ohne euch, den Persern Widerstand entgegensetzen sollen. Zum Gedanken vgl. VIII 111. Als nämlich Themistokles von den Andriern Geld verlangte, verweigerten dies die Andrier, ihre Armut vorschützend, mit den Worten: οὐδέ κοτε τῆς ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω.

6. πειρησόμεθα — μηχανεόμενοι. πειρᾶσθαι mit Partic. auch c. 139.

173. 8. πρὸς ταῦτα. πρός findet sich in der Bedeutung „in Bezug auf“ öfter mit ταῦτα verbunden. Vgl. c. 160.

10. τῆς Ἀχαιίης. S. zu c. 132. Die Stadt Ἄλος, auch Ἅλος Halus lag unweit des Amphrysosflusses am Flusse des Othrys. Vgl. c. 197.

12. Τέμπεα. S. z. c. 128.

15. κατά in gleicher Bedeutung wie VI 79 κατὰ πεντήκοντα ὤν τῶν Ἀργείων ὁ Κλεομένης ἔκτεινε. Ebenso V. 79. VI 44.

17. ἵππος collectiv wie c. 41. 85. 158.

18. ἀραιρημένος att. ᾑρημένος. Vgl. c. 172.

γένεος — οὐ τοῦ βασιληΐου. Die Führung des Heers stand (wenigstens in älterer Zeit) einem der Könige zu (VI 56), dem der Polemarch als nächster Befehlshaber

τοῦ βασιληΐου, Ἀθηναίων δὲ Θεμιστοκλέης ὁ Νεοκλέος. Ἔμειναν δὲ ὀλίγας ἡμέρας ἐνθαῦτα· ἀπικόμενοι γὰρ ἄγγελοι παρὰ Ἀλεξάνδρου τοῦ Ἀμύντεω ἀνδρὸς Μακεδόνος συνεβούλευόν σφι ἀπαλλάσσεσθαι μηδὲ μένοντας ἐν τῇ ἐσβολῇ καταπατηθῆναι ὑπὸ τοῦ στρατοῦ τοῦ ἐπιόντος, σημαίνοντες τὸ πλῆθος τῆς στρατιῆς καὶ τὰς νέας. ὡς δὲ οὗτοί σφι ταῦτα συνεβούλευον (χρηστὰ γὰρ ἐδόκεον συμβουλεύειν, καί σφι εὔνοος ἐφαίνετο ἐὼν ὁ Μακεδών), ἐπείθοντο. δοκέειν δέ μοι, ἀρρωδίη ἦν τὸ πεῖθον, ὡς ἐπύθοντο καὶ ἄλλην ἐοῦσαν ἐσβολὴν ἐς Θεσσαλοὺς κατὰ τὴν ἄνω Μακεδονίην διὰ Περραιβῶν κατὰ Γόννον πόλιν, τῇπερ δὴ καὶ ἐσέβαλε ἡ στρατιὴ ἡ Ξέρξεω. καταβάντες δὲ οἱ
Ἕλληνες ἐπὶ τὰς νέας ὀπίσω ἐπορεύοντο ἐς τὸν Ἰσθμόν. Αὕτη 174
ἐγένετο ἡ ἐς Θεσσαλίην στρατηΐη βασιλέος τε μέλλοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ ἐρημωθέντες συμμάχων, οὕτω δὴ ἐμήδισαν προθύμως οὐδ' ἔτι ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασιλέϊ ἄνδρες ἐόντες χρησιμώτατοι.

Οἱ δὲ Ἕλληνες ἐπείτε ἀπίκατο ἐς τὸν Ἰσθμὸν, ἐβουλεύ- 175
οντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου, τῇ τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. ἡ νικέουσα δὲ γνώμη ἐγένετο τὴν ἐν Θερμοπύλῃσι ἐσβολὴν φυλάξαι. στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς Θεσσαλίην καὶ ἅμα μία, ἀγχοτέρη τε τῆς ἑωυτῶν. τὴν δὲ ἀτραπὸν, δι' ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλή-

untergeordnet war. Doch wurden später auch andere zu Feldherrn bestellt. Hier ist nur an eine einzelne Abteilung (vgl. συλλεγέντες) zu denken, die unter den Befehl des Polemarchen gestellt war.

3. Ἀλεξάνδρου τοῦ Ἀμύντεω, desselben, welcher später als Abgesandter des Mardonios die Athener zu einem Bündnis mit den Persern zu bewegen suchte (VIII 136. 140). Vgl. über ihn V 19. 22. IX 44. 45.

4. μένοντας. Accusat. auf einen Dativ bezogen. S. z. c. 95.

5. ἐπιόντος. S. z. c. 157.

8. δοκέειν ἐμοί. S. z. c. 24.

9. ἄλλην — ἐσβολήν. S. z. c. 128. Dasz noch ein zweiter Eingangspunkt nach Thessalien vorhanden sei, war den Verbündeten bislang unbekannt geblieben.

174. 14. καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Im Frühjahr 480. Vgl. c. 37. 145.

15. οὕτω δή weist nachdrücklich auf ἐρημωθέντες συμμάχων zurück.

16. ἐν τοῖσι πρήγμασι bei seinem (des Königs) Vorhaben.

Die Griechen bei Artemision und Thermopylae.

175. 19. πρός in gleicher Bedeutung wie in πρὸς ταῦτα (c. 173).

στήσονται. πόλεμον ἵστασθαι wie c. 9, II und c. 236.

21. στεινοτέρη. Ueber die schmalsten Stellen des Passes von Thermopylae vgl. c. 176. 200. Der Tempepass ist an seinem engsten Teile gegen 13′ breit, an anderen Stellen 15—20′. Seine Länge beträgt etwa eine deutsche Meile.

23. ἥλωσαν — ἁλόντες. Aehn-

νων ἐν Θερμοπύλῃσι, οὐδὲ ᾔδεσαν ἐοῦσαν πρότερον ἤπερ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων. ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλώειν γῆς τῆς Ἱστιαιήτιδος ἐπὶ Ἀρτεμίσιον. ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ, ὥστε πυνθάνεσθαι τὰ κατ' ἑκατέρους ἐόντα, οἵ τε
176 χῶροι οὕτω ἔχουσι· Τοῦτο μὲν, τὸ Ἀρτεμίσιον, ἐκ τοῦ πελάγεος τοῦ Θρηϊκίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν ἐόντα τὸν πόρον τὸν μεταξὺ νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης· ἐκ δὲ τοῦ στεινοῦ τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον δέκεται αἰγιαλὸς, ἐν δὲ Ἀρτέμιδος ἱρόν. ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα ἐστὶ, τῇ στεινοτάτη, ἡμίπλεθρον. οὐ μέντοι κατὰ τοῦτό γ' ἐστὶ τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ' ἔμπροσθέ τε Θερμοπυλέων καὶ ὄπισθε, κατά τε Ἀλπηνοὺς

liche Verbindungen sind nicht selten bei Her. Vgl. VI 30 ἀνήχθη — ἀγόμενος, VI 91 ἐκφυγὼν — καταφεύγει, VI 34 ἰόντες ἤϊσαν. Ebenso unt. c. 197. 220 οἴχεσθαι τοὺς οἰχομένους und ob. c. 10, I. — Zur Sache vgl. c. 213.

3. *παριέναι* praetermittere, hindurchlassen. Wie hier V 97. In anderer Bedeutung c. 161 (permittere).

4. *γῆς τῆς Ἱστ.* abhängig von Ἀρτεμίσιον. Vgl. c. 176. 183. Derselbe chorographische Genetiv auch VI 47 τὰ δὲ μέταλλα τὰ Φοινικικὰ ταῦτά ἐστι μεταξὺ Αἰνύρων τῆς Θάσου. — γῆ ἡ Ἱστιαιῆτις ist das Gebiet der euboischen Stadt Hestiaia, die auf der Nordseite der Insel lag und schon von Homer (Il. II 537) genannt wird (Her. VIII 23). — Auch in Thessalien gab es eine Landschaft dieses Namens (I 56).

7. *οὕτω.* Wir erwarteten ὧδε. S. z. c. 62.

176. *τοῦτο μέν*, es folgt kein entsprechendes τοῦτο δέ; dafür ἡ δὲ αὖ (unt. 10). Genau wie hier III 106. Vgl. ob. c. 21.

8. *συνάγεται.* S. z. c. 23.

9. *Σκίαθος* liegt östlich von Magnesia.

10. *Εὐβοίης* hängt als chorographischer Genetiv von τὸ Ἀρτεμίσιον ab. (Vgl. c. 175.)

δέκεται. Häufiger ist in dieser localen Bedeutung ἐκδέκεσθαι. Vgl. IV 99 ἡ τὴν Περσικὴν ἐκδεκομένη Ἀσσυρίη Assyria quae Persiam continuo excipit. Gleichbedeutend ist das in unserem Cap. weiter unten gebrauchte ὑποδέκεσθαι, ebenso ἔχεσθαι c. genet. (c. 108. 123).

11. *ἐν δέ* adverbial. S. z. c. 12.

Τρηχίς hier die Landschaft wie c. 203; dagegen die Stadt c. 199. 201.

12. *τὴν Ἑλλάδα*, das eigentliche Hellas im engeren Sinne.

13. *κατὰ τοῦτο.* κατά local wie unt. c. 176 und III 86 ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο.

τῆς ἄλλης ist nach dem Superlativ auffällig. Wir erwarteten dafür πάσης (= τὸ στεινότατον πάσης τῆς χώρης ταύτης). Vgl. c. 199 ταύτῃ δὲ καὶ εὐρύτατόν ἐστι πάσης τῆς χώρης ταύτης. — Krüger erklärt die Worte τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης „der engste Raum und enger als das übrige" mit Vergleichung von Strab. VII 7 p. 323 ἡ πόλις μάλιστα τῶν ἄλλων εὐανδρεῖ und Tac. Agric. c. 34 ceterorum Britannorum fugacissimi.

14. *Ἀλπηνούς.* Ueber das Lo-

ὄπισθε ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθε κατὰ Φοίνικα ποταμὸν ἀγχοῦ Ἀνθηλῆς πόλιος ἁμαξιτὸς ἄλλη μούνη. τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης οὖρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλὸν, ἀνατεῖνον ἐς τὴν Οἴτην, τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ θάλασσα ὑποδέκεται καὶ τενάγεα. ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ, τὰ Χύτρους καλέουσι οἱ ἐπιχώριοι, καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι. ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολὰς, καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν. ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήνπερ

cale in diesem Capitel s. z. c. 198 und c. 200. Vgl. auch die Karte.

1. *ἐόντας ἐοῦσα.* Ueber derartige Verbindungen s. z. c. 129. — *ἐοῦσα ἁμαξιτὸς μούνη* ist appositiv an *τὸ στεινότατον* angefügt.

3. *τῶν Θερμοπυλέων* hängt von dem adverbiellen *τὸ πρὸς ἑσπέρης* (= an der Westseite, genauer: Südwestseite) ab. Ebenso ist im Folgenden *τῆς ὁδοῦ* von *τὸ πρὸς τὴν ἠῶ* (=Nordost) abhängig. Ueber *πρός* mit Genet. und Accus. s. z. c. 20 Ende.

5. *ὑποδέκεται* vom Meere, im Gegensatz zu *ἀνατεῖνον* vom Gebirge. Ueber die Bedeutung von *ὑποδέκεσθαι* s. o. z. *δέκεται.*

τενάγεα. Durch die Alluvionen des Spercheios (s. z. c. 198) hat sich im Lauf der Zeit im Inneren des malischen Meerbusens auf eine deutsche Meile hinaus Sumpfland gebildet, so dasz der Meerbusen an Umfang verloren hat und der an das Tor der Thermopylen stoszende Berg jetzt weit vom Meere entfernt ist. Zwischen der See und dem Dammweg, der noch heute dicht unter dem Berge vorbeigeht und so schmal ist, dasz kaum zwei Reiter nebeneinander reiten können, dehnen sich noch heute undurchdringliche Moräste aus. Vgl. Appian Syr. 17 und Liv. XXXVI 18 (loca usque ad mare invia palustri limo et voraginibus).

6. *θερμὰ λουτρά.* Die „warmen Bäder" wurden durch mehrere noch heute am Fusze der Bergwand hervorsprudelnde Quellen gebildet, deren heiszes (52^0 Réaum.), stark nach Schwefel riechendes Wasser in einem einfachen Bassin aufgefangen wird, aus welchem es dann den das Ufer des Spercheios bedeckenden Sümpfen zuflieszt. Schon im Altertum wurden diese dem Herakles geweihten Quellen, dem hier auch ein Altar errichtet war (c. 198), zu Bädern benutzt und waren zu diesem Zweck in zwei Bassins (*χύτροι*), eins für die Männer und eins für die Frauen gefaszt (Paus. IV 35, 9); nach denselben wurde der durch die Kämpfe der Griechen gegen die Perser (480 v. Chr.) und gegen die Gallier (279 v. Chr.) berühmte Pasz, der im Altertum zwischen den steilen Felsen des Oeta und der sumpfigen Meeresküste, jetzt zwischen diesen Felsen und den Sümpfen, durch die der Spercheios flieszt, hinführt, von den Griechen gewöhnlich *αἱ Θερμοπύλαι* genannt, während die Anwohner ihn einfach als *αἱ Πύλαι* bezeichneten (c. 201).

7. *Ἡρακλέος.* Ihm war diese ganze Gegend heilig, weil er sich auf dem Oeta einen Scheiterhaufen errichtet und verbrannt hatte. Vgl. c. 198. Auch waren ihm überhaupt die warmen, heilkräftigen Quellen geheiligt.

8. *κατά*, lokal wie ob. (S. 150, 13). *τὸ παλαιόν* wie c. 129 Anf.

9. *Θεσσαλοὶ — ἐκ Θεσπρωτῶν.* Die Thessaler waren aus Thesprotien (Epirus) in das nach ihnen benannte Thessalien hinübergezogen, dessen alte Bewohner, die Aioler,

νῦν κεκτέαται. ἅτε δὴ πειρεομένων τῶν Θεσσαλῶν καταστρέφεσθαί σφεας τοῦτο προεφυλάξαντο οἱ Φωκέες, καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος, πᾶν μηχανεόμενοι, ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐπὶ τὴν χώρην. τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο, καὶ τὸ πλέον αὐτοῦ ἤδη ὑπὸ χρόνου ἐκέετο. τοῖσι δὲ αὖτις ὀρθώσασι ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον. κώμη δέ ἐστι ἀγχοτάτω τῆς ὁδοῦ, Ἀλπηνοὶ οὔνομα·
Ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην, καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους

1. *ἐλείπετο* „es blieb für ihn zurück", d. h. es überdauerte ihn unsterblicher Ruhm.

ἐξηλείφετο. Derselbe bildliche Ausdruck bei Aeschyl. VII 15 τιμὰς μὴ ἐξαληφθῆναί ποτε.

3. *αὐτίκα* mit κατ' ἀρχάς verbunden wie c. 88. Ueber κατ' ἀρχὰς ἐγειρομένου s. z. c. 203.

4. *ἀνάστατον γενέσθαι* von Zerstörung. Vgl. c. 118. Aehnlich oben c. 56 ἀνάστατον τὴν Ἑλλάδα ποιῆσαι.

7. *ὑμῖν δέ*, δέ erklärt sich daraus, dasz schon vorher den Abgesandten eines anderen Staates ein Orakel erteilt war. Wie hier IV 159 öfter.

εὐρυχόροιο. εὐρύχορος, weitplätzig ist ein häufiges Beiwort von Städten. Vgl. Hom. Od. XIII 414 εὐρύχορον Λακεδαίμονα und Pind. Nem. X 97 εὐρυχόρου Σπάρτης.

8. *ἄστυ ἐρικυδές*. Eine ungewöhnliche Synizese. Vielleicht ist das υ zu elidieren. Andere lesen: ἄστυ 'ρικυδές.

ὑπ' ἀνδράσι. Ueber ὑπὸ c. dat. s. z. c. 11.

Περσείδῃσι. S. z. c. 61.

9. *τὸ μὲν οὐκί* erg. πέρθεται.

10. *Λακεδαίμονος οὖρος* ist Subject. οὖρος att. ὅρος Gebiet.

11. *τόν*, τὸν Πέρσην. *σχήσει*, ἐπισχήσει.

12. *ἀντιβίην* ein homerisches Wort. Vgl. Hom. Il. XXI 226 πειρηθῆναί τινι ἀντιβίην, sich mit jemandem im Kampf versuchen.

13. *Σχήσεσθαι*. Vgl. Hom. Il. XVII 502: οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι οἴω
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω.

τῶνδ' ἕτερον horum alterutrum, nämlich die Stadt oder den König.

διὰ — δάσηται von διαδαίεσθαι zerstückeln, zerreiszen. Der Ausdruck scheint mit Beziehnng auf die Mishandlung des Leichnams des Leonidas gewählt (c. 238). πάντα ist Accus., Singul. und prädicativisch mit ἕτερον zu verbinden (= ganz und gar).

14. *ἐπιλεγόμενον*. Ueber ἐπιλέγεσθαι s. z. c. 10, VIII.

15. *καταθέσθαι*. κλέος καταθέσθαι auch IX 78. Vgl. Thuk. IV 87 ἀγωνίσασθε ἀΐδιον δόξαν καταθέσθαι. S. z. c. 178.

16. *γνώμῃ διενειχθέντας*, auch c. 229. διενειχθῆναι vom Hadern auch I 173.

οἴχεσθαι τοὺς οἰχομένους. Aehnliche Verbindungen s. z. c. 175.

μᾶλλον ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰ- 221
χομένους. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι
γέγονε ὅτι καὶ τὸν μάντιν, ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγι-
στίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμ-
ποδος, τοῦτον τὸν εἴπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν,
φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι.
ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπελείπετο, τὸν δὲ παῖδα
συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε. Οἱ μέν νυν 222
σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο
Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ
Λακεδαιμονίοισι. τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ
οὐ βουλόμενοι (κατεῖχε γάρ σφεας Λεωνίδης ἐν ὁμήρων λόγῳ
ποιεύμενος), Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπο-
λιπόντες Λεωνίδην καὶ τοὺς μετ᾽ αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ
καταμείναντες συναπέθανον. ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος
Διαδρόμεω.

221. 1. *οὐκ ἐλάχιστον.* Litotes. S. z. c. 101. In den meisten Ausgaben folgen auf *γέγονε* noch die Worte *οὐ γὰρ μοῦνον τοὺς ἄλλους ἀλλὰ* (*καὶ τὸν μάντιν*); doch ist dieser Zusatz nur durch die Aldina überliefert. Die Handschriften, und zwar alle, bieten einfach *γέγονε ὅτι καὶ τὸν μάντιν.*

3. *τὰ ἀνέκαθεν* in temporaler Bedeutung mit Beziehung auf die Ahnen gesagt. Vgl. VI 35 *τὰ μὲν ἀνέκαθεν ἀπ᾽ Αἰακοῦ γεγονώς.* Ebenso V 55. VI 125.

Μελάμποδος. Melampus war ein berühmter Seher Griechenlands in mythischer Zeit. Näheres zu II 49.

4. *ἐκ τῶν ἱρῶν.* S. z. c. 219.

5. *ἀποπέμπων.* Partic. Imperfecti einem Präsens angeschlossen. Vgl. c. 129 (*ἐνεῖναι*).

7. *ἀπελείπετο* deseruit (Leonidam). Vgl. c. 222 *Θεσπιέες οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ᾽ αὐτοῦ ἀπαλλάξεσθαι.*

222. 10. *ἀέκοντες καὶ οὐ βουλόμενοι.* Ueber die nachdrückliche Zusammenstellung eines positiven und negativen Ausdrucks zur Bezeichnung eines und desselben Begriffs s. z. c. 40.

11. *ἐν ὁμήρων λόγῳ ποιεύμενος.* Vgl. III 125 *ἐν ἀνδραπόδων λόγῳ ποιεύμενος εἶχε* in servorum numero habuit. Was die Sache selbst anlangt, so ist die Richtigkeit der Angabe von Plutarch, jenem ungerechten Tadler Herodots, in seiner Schrift *περὶ κακοηθείας Ἡροδοτ.* p. 865 geleugnet; er macht dem Herodot wegen dieser Angabe sehr starke Vorwürfe, indem er es für durchaus unwahrscheinlich hält, dasz Leonidas die Thebaner sollte gewaltsam zurückgehalten haben, da diesem verdächtige und zweifelhafte Bundesgenossen in seiner so gefährlichen Lage gar keinen Vorteil, wol aber den grösztenSchaden hätten bringen können. Mehrere neuere Gelehrte sind dieser in der Tat plausiblen Beweisführung beigetreten, die indes keineswegs ausreicht, um Herodots durchaus klare Angabe zu verdächtigen. Leonidas behielt die Thebaner einfach deshalb zurück, um den thebanischen Staat von offenem Abfall abzuhalten und zu verhüten, dasz andere in der Treue schwankende Staaten sich durch das verräterische Beispiel der Thebaner zu dem gleichen Schritt verleiten lieszen. Uebrigens sagt Diodor IX 9, dasz nur die Thespier bei Leonidas zurückgeblieben seien; Pausanias dagegen (X 20, 1) berichtet, dasz mit den Thespiern noch 80

223 Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω. ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἤπερ ἡ περίοδός τε καὶ ἀνάβασις. οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήϊσαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο, τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων. ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἅτε γὰρ ἐπιστάμενοι τὸν

Mykenäer (nicht Thebaner) ausgeharrt hätten.

223. 1. *σπονδὰς ἐποιήσατο.* Zur Sache vgl. c. 54.

2. *ἐς ἀγωρῆς πληθώρην.* Wie hier II 173. Dafür IV 181 *ἀγορῆς πληθυούσης*. Gemeint ist die Zeit des Vormittags. Ueber den Ausdruck s. z. c. 215.

πρόσοδον ἐποιέετο, vom Angriff. Vgl. c. 212.

4. *κατάβασις*. Die Perser gebrauchten zum Abstieg nur 5—6 Stunden, während sie, um auf die Höhe zu gelangen (*περίοδος καὶ ἀνάβασις*) von der Abenddämmerung an die ganze Nacht hindurch bis zum Morgenrot marschiert waren (c. 215. 217).

8. *ἐς τὸ εὐρύτερον τοῦ αὐχένος*. Damit kann nur der c. 201 beschriebene *δίοδος* zwischen den beiden Engen gemeint sein. S. z. c. 201. Mit ὁ *αὐχήν* ist der ganze langgestreckte Thermopylenpass bezeichnet.

9. *ἔρυμα τοῦ τείχεος*. Gemeint ist die Schutzmauer vor der östlichen Enge (c. 176. 215). In den früheren Tagen hatten die Hellenen nur in der Nähe der Schutzmauer an den engen Stellen gekämpft, wohin sie den Feind durch scheinbare Flucht gelockt hatten.

10. *τότε δὲ συμμίσγοντές ἔξω τῶν στεινῶν* ist grammatisch parallel zu *ὑπεξιόντες ἐς τὰ στεινόπορα* construiert, wozu es auch den Gegensatz bildet. Durch diesen Parallelismus, welcher durch den Sinn vollständig gerechtfertigt erscheint, ist aber eine starke Anakoluthie entstanden, da im Folgenden ein neues Subject (*πολλοὶ τῶν βαρβάρων*) eintritt, während *συμμίσγοντες* dasselbe Subject mit *ἐμάχοντο* hat (*οἱ Ἕλληνες*). Ein ähnlicher Subjectswechsel unten 16.

11. *πλήθεϊ πολλοί.* Wie hier VI 44 *νέας πλήθεϊ πολλάς*. Häufig so. Vgl. V 31 *νῆσος μεγάθεϊ οὐ μεγάλη*.

12. *τῶν τελέων*. S. z. c. 81.

13. *ἐρράπιζον*. Ueber diesen Gebrauch vgl. c. 56. 103.

14. *θάλασσαν*. Vgl. c. 176 *τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ θάλασσα ὑποδέκεται καὶ τενάγεα.*

16. *οὐδεὶς λόγος τοῦ ἀπολλυμένου*. *λόγος* steht in gleicher Bedeutung IV 135 *τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, τούτους κατέλιπε αὐτοῦ ταύτῃ* (ὁ *Δαρεῖος*). Eben-

μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων τὸ οὖρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεόμενοί τε καὶ ἀτέοντες. Δούρατα μέν νυν τοῖσι πλέοσι 224 αὐτῶν τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ οὐνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα· ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. καὶ δὴ καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοὶ, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ. ὁ δὲ Ἀρτάνης Δαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελφεὸς, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεος παῖς, ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ τὸν οἶκον πάντα τὸν ἑωυτοῦ ἐπέδωκε ὡς μούνου οἱ ἐούσης ταύτης τέκνου. Ξέρξεώ τε 225 δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι ὑπὲρ τοῦ νεκροῦ

so VIII 102. — τὸ ἀπολλύμενον = οἱ ἀπολλύμενοι. S. z. c. 157.

ἅτε γὰρ ἐπιστάμενοι. γάρ begründet den groszen Verlust der Feinde. Bei ἐπιστάμενοι — ἀπεδείκνυντο ist der etwas harte Subjectswechsel zu beachten. Vgl. ob. vor. S. 10.

3. παραχρεόμενοι. παραχρᾶσθαι etwas als Nebensache ansehen, geringschätzen; als Object schwebt σωμάτων od. ψυχῶν vor. Vgl. Diodor XIII 60 ἀφειδῶς ἐχρῶντο τοῖς ἰδίοις σώμασι εἰς κοινὴν σωτηρίαν.

ἀτέοντες. ἀτέων = φρενοβλαβής verblendet, tollkühn. Eustathius erklärt es: βέβλαμμένος εἰς φρόνησιν ὡς ἀπὸ τῆς ἄτης. Wie hier Hom. Il. XX 332:

Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
ἀντία Πηλειῶνος ὑπερθύμοιο μάχεσθαι.

224. 4. οἱ δέ. S. z. c. 6 (ὁ δέ).

5. διεργάζοντο. διεργάζεσθαι conficere, perdere auch V 20 92. Häufig so auch κατεργάζεσθαι.

πόνῳ. Vgl. VIII 89 ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης, ἀπὸ δὲ ἄλλοι πολλοί.

7. ἀξίων γενομένων. Bei ἀξίων ergänze man πυθέσθαι τὰ οὐνόματα αὐτῶν. Vgl. c. 96 τῶν ἐπιχωρίων ἡγεμόνων οὐ παραμέμνημαι. οὐ γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν (sc. τοῦ παραμεμνῆσθαι) οἱ ἡγεμόνες.

8. ἐπυθόμην — τριηκοσίων. Noch 600 Jahre später las Pausanias (III 14, 1) die Namen der Pylenkämpfer auf einer Säule in Sparta, welche im Jahre 440 errichtet war, als die Spartaner die Gebeine ihres Königs aus den Thermopylen holten und in Sparta beisetzten.

10. ἐν δὲ δὴ καί ist eine öfter bei Herodot wiederkehrende Wendung = atque in his etiam. ἐν δέ adverbialisch wie in πρὸς δέ, μετὰ δέ (c. 22). Wie hier nach ἄλλος I 185. 192. V. 102 und unt. c. 238.

11. Φραταγούνης pers. Frâtagaunâ. Ueber die sechs Frauen des Dareios s. z. III 88.

13. Ὑστάσπεος τοῦ Ἀρσάμεος παῖς. S. z. c. 11.

14. ἐκδιδούς. ἐκδιδόναι vom Vater, der die Tochter verheiratet und aussteuert auch IV 145.

οἶκον, Hab und Gut, Vermögen, wie oft schon bei Homer (Odyss. II 64. IV 318).

τοῦ Λεωνίδεω, Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλὸς ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος. ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων. ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθεν περισταδόν.

226 Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης, τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμῖξαί σφεας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων, ὡς ἐπεὰν οἱ βάρβαροι ἀπίωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτό τι πλῆθος αὐτῶν εἶναι· τὸν δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν, ἐν ἀλογίῃ ποιεύμενον

225. 3. *συνεστήκεε.* S. z. c. 144.

5. *ἑτεροιοῦτο τὸ νεῖκος.* Vgl. IX 102 *ἐνθεῦτεν ἑτεροιοῦτο τὸ πρῆγμα.* Ueber *νεῖκος* s. z. c. 158.

6. *ἀνεχώρεον ὀπίσω.* Ueber die Abundanz s. z. c. 162.

7. *ἵζοντο ἐπί. ἵζεσθαι ἐπί* c. accus. erkläre nach *ἵζεσθαι ἐς* (s. z. c. 15). Wie hier VIII 52 *οἱ δὲ Πέρσαι ἱζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον.*

8. *ὁ δὲ κολωνὸς — ἐσόδῳ.* Wahrscheinlich ist der nahe dem Eingange zur östlichen Enge (c. 176) gelegene Hügel gemeint, der sich in südlicher Richtung von den warmen Quellen auf der linken Seite des heutigen Wegs erhebt; er ist etwa 30′ hoch und mit Steinhaufen bedeckt.

9. *ἐπὶ Λεωνίδῃ* zu Ehren des L. Vgl. Hom. Il. XXIII 776 *ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς.*

10. *τοῖσι ἐτύγχανον — περιεοῦσαι.* Vgl. c. 223 *δόρατα μέν νυν τοῖσι πλεόνεσι αὐτῶν τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη.*

12. *ἐξ ἐναντίης* ex adverso mit *ἐπισπέσθαι* auch VIII 7 verbunden.

τὸ ἔρυμα τοῦ τείχεος wie c. 223.

Heldentaten einzelner Spartiaten und Thespier. Inschriften auf die Pylenkämpfer. Eurytos. Aristodemos. Pantites. Abfall der Thebaner (c. 226—233).

226. 18. *ὑπὸ τοῦ πλήθεος* steht in gleichem Sinne c. 187.

20. *τὸν δὲ — εἰπεῖν.* Wiederaufnahme des *τὸν τόδε φασὶ εἰπεῖν τό ἔπος* (oben 16).

ἐν ἀλογίῃ ποιέεσθαί τι ist gleichbedeutend mit der häufiger vorkommenden Wendung *ἐν ἀλογίῃ ἔχειν τι* (VI 75) oder *ἀλογίην ἔχειν τινός* (IV 150).

τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖ-
νος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ
σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. ταῦτα μὲν
καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμό-
νιον λιπέσθαι μνημόσυνα. Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγον- 227
ται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων Ὀρσι-
φάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα τῷ οὔνομα
ἦν Διθύραμβος Ἁρματίδεω. Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ, 228
τῇπερ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ
Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα
λέγοντα τάδε·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
Ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε·

Μνῆμα τόδε κλειτοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
Μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
Οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπί-

3. *καὶ οὐκ ἐν ἡλίῳ.* Ueber diesen negativen Zusatz s. z. c. 40.

228. 8. *αὐτοῦ ταύτῃ.* S. z. c. 10 VIII.

9. *ἢ τοὺς ὑπὸ Λεωνίδεω.* Vor ὑπὸ Λεωνίδεω ist mit Schäfer τοὺς eingeschoben.

12. *μυριάσιν — τριηκοσίαις.* Vgl. c. 185.

13. *χιλιάδες τέτορες.* Genauer: 3100. S. c. 202.

16. *ὦ ξεῖν', ἀγγέλλειν.* Vgl. Cic. Tusc. I 42:

Dic, hospes, nos te vidisse iacentes
Dum sanctis patriae legibus obsequimur.

Sämmtliche drei Epigramme haben den Simonides zum Verfasser. Vgl. Bergk poet. lyric. p. 900. — Die in dem ersten Epigramm übergangenen Thespier wurden in einem besonderen gefeiert. Vgl. Anthol. Gr. I 80:

Ἄνδρες θ' οἵ ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

ἀγγέλλειν. S. z. c. 141.

17. *ῥήμασι* mit Beziehung auf die lakonischen ῥῆτραι Satzungen.

20. *ἀμειψάμενοι.* ἀμείβεσθαι (eig. vertauschen) ist hier dem Sinne nach so viel wie διαβῆναι. Vgl. Theocr. II 104 ὑπὲρ θύρας οὐδὸν ἀμείβεσθαι. Vgl. c. 225 παραμειψάμενοι τὸ τεῖχος.

22. *οὐκ ἔτλη* non sustinuit, noluit. Häufig so bei Homer.

23. *ἔξω ἢ τὸ — ἐπίγραμμα.* ἔξω mit ἤ verbunden, wie in πλὴν ἤ und χωρὶς ἤ. Häufiger steht in dieser Bedeutung ἔξω sowol wie

γραμμα, Ἀμφικτύονές εἰσί σφεας οἱ ἐπικοσμήσαντες, τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

229 Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι κοινῷ λόγῳ χρησαμένοισι ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι τε ἦσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιεῦντες ἐς τὸ ἔσχατον, ἢ εἴ γε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανεῖν ἅμα τοῖσι ἄλλοισι, παρεόν σφι τούτων τὰ ἕτερα ποιέειν οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ γνώμῃ διενειχθέντας Εὔρυτον μὲν πυθόμενον τὴν τῶν Περσέων περίοδον, αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους, ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν δὲ ἐσπεσόντα ἐς τὸν ὅμιλον διαφθαρῆναι, Ἀριστόδημον δὲ λειποψυχέοντα λειφθῆ-

πλήν mit Genetiv. Wie hier II 3: *οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι τὰ θεῖα πρήγματα ἔξω ἢ τὰ οὐνόματα (τῶν θεῶν) μοῦνον.* — *τὸ ἐπίγραμμα* hängt in veränderter Construction ebenfalls von *ἐπικοσμήσαντες* ab, da *ἐπικοσμέειν* auch mit Accus. verbunden werden kann.

229. 4. *λέγεται Εὔρυτον. λέγεται* mit Accus. c. Inf. wie c. 56.

5. *παρεόν.* S. z. c. 13.

κοινῷ λόγῳ χρήσασθαι = *ὁμοφρονέειν* (unten 10). Wie hier I 166 *στρατεύοντες ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι.*

6. *μεμετιμένοι* (*μετιέναι*) unattisch. Dasselbe ion. Perfect. V 108. VI 1.

9. *Παρεόν σφι* nimmt der Deutlichkeit halber das entfernte *παρεόν αὐτοῖσι* (oben 5) wieder auf.

10. *τὰ ἕτερα.* Ueber den Artikel s. z. c. 182 (*αἱ δύο*).

γνώμῃ διενειχθέντας opp os. *ὁμοφρονέοντας.* Dieselbe Wendung c. 220.

11. *περίοδος* wie c. 219. 223.

13. *εἵλωτα* als *θεράπων.* „Auch der Heloten bediente sich der Staat im Kriege: und zwar waren sie hier den spartanischen Hopliten teils als Schildknappen zugeordnet, die auch im Gefecht sich in ihrer Nähe halten musten, um die Gefallenen oder Verwundeten fortzubringen, auch wol in die enstandenen Lücken der Linie einzutreten, teils fochten sie als Leichtbewaffnete mit Schleudern und Wurfspieszen, teils endlich wurden sie zu den mancherlei nicht eigentlich militärischen Verrichtungen, zum Herbeischaffen von Bedürfnissen, zu Schanzarbeiten und dergleichen gebraucht." Schömann. Vgl. VI 58 und vor all. IX 28.

ὅκως — ἤγαγε. *ὅκως* = *ὡς, ὅτε* auch IX 66 *ὅκως ἡ συμβολὴ ἐγίνετο.* Selten so. Ueber den sonstigen Gebrauch von *ὅκως* s. z. c. 6.

15. *λειποψυχέοντα. λειποψυχέειν* ohnmächtig werden (aus körperlicher Schwäche) scheint nicht recht auf Aristodemos zu passen, da im Folgenden ausdrücklich von ihm gesagt ist *οὐκ ἐθελήσαντος ἀποθνήσκειν* (folg. S. 5). Wahrscheinlich ist mit Valckenaer *φιλοψυχέοντα* zu lesen. Vgl. VI 29: *Ἱστιαῖος φιλοψυχίην τοιήνδε τινὰ ἀναιρέεται.* Das Verbum bei Tyrt. fragm. 10 v. 18 (Bergk p. 319) *μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.* Der Fehler (Hörfehler?) entstand wol aus dem folgenden *λειφθῆναι* (*λειποψυχέοντα λειφθῆναι*).

ναι. εἰ μέν νυν ἦν μοῦνον Ἀριστόδημον ἀλγήσαντα ἀπονοστῆ-
σαι ἐς Σπάρτην, ἢ καὶ ὁμοῦ σφέων ἀμφοτέρων τὴν κομιδὴν
γενέσθαι, δοκέειν ἐμοὶ οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδε-
μίαν προσθέσθαι, νυνὶ δὲ τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ
τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος, οὐκ ἐθελήσαντος δὲ ἀπο-
θνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ.
Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην 230
καὶ διὰ πρόφασιν τοιήνδε, οἱ δὲ ἄγγελον πεμφθέντα ἐκ τοῦ
στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην,
οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι, τὸν
δὲ συνάγγελον αὐτοῦ ἀπικόμενον ἐς τὴν μάχην ἀποθανεῖν.
Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος ὄνειδός τε 231
εἶχε καὶ ἀτιμίην· πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ
οὐδεὶς ἔναυε Σπαρτιητέων οὔτε διελέγετο, ὄνειδός τε εἶχε ὁ
τρέσας Ἀριστόδημος καλεόμενος. ἀλλ' ὁ μὲν ἐν τῇ ἐν Πλα-
ταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενειχθεῖσάν οἱ αἰτίην. Λέ- 232

1. εἰ μέν νυν ἦν „wenn es nun der Fall gewesen wäre." Die Ausdrucksweise ist ungewöhnlich.

ἀλγήσαντα i. e. ὀφθαλμιεῦντα oculorum morbo dolentem.

3. δοκέειν ἐμοί. Ueber den absoluten Infinitiv s. z. c. 24. Im Folgenden ist die Rede von dem eingeschobenen δοκέειν ἐμοί abhängig gemacht, worüber näheres z. c. 171 Anf. Wir erwarteten οὐκ ἄν σφι Σπαρτιῆται μῆνιν οὐδεμίαν προσέθεντο. Zur Bedeutung von προσθέσθαι vgl. ob. c. 11 προσθεῖναί τινι ἀτιμίην und Eur. Hek. 742 ἄλγος ἂν προσθείμεθα (αὐτῷ).

4. νυνὶ δέ = νῦν δέ. S. z. c. 139 Uebrigens findet sich die durch das demonstrative ι verstärkte (attische) Form νυνί bei Herodot nur hier. In gleicher Bedeutung, die Wirklichkeit einem angenommenen Falle entgegensetzend, steht νυνὶ δέ bei Lykurg in Leokr. 23.

5. τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος. Sinn: Aristodemos stützte sich auf denselben Entschuldigungsgrund, von welchem Eurytos keinen Gebrauch machte. Der Ausdruck ἔχεσθαι προφάσιος auch VI 94, in gleicher Bedeutung steht VI 13 ἐπιλαβέσθαι προφάσιος.

6. ἀναγκαίως σφι ἔχειν. Die Wendung ἀναγκαίως ἔχει μοι auch VIII 149. IX 27.

230. 9. ἐξεόν erkläre nach παρεόν c. 229.

231. 13. πῦρ — ἔναυε. Nach altgriechischer Satzung war es heilige Pflicht jedem zu erlauben, sich von dem Feuerherd eines anderen Feuer zu holen. Nur Ehrlosen durfte man diese Erlaubnis verweigern.

14. ὄνειδός τε. Ueber τε nach οὔτε — οὔτε s. z. c. 8, I.

ὁ τρέσας. οἱ τρέσαντες ist die übliche Bezeichnung der aus der Schlacht feige geflohenen. Vgl. Tyrt. fr. 11, 14 (Bergk p. 321) τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή. Die Feigen wurden namentlich in Sparta mit den schimpflichsten Strafen belegt.

16. ἀνέλαβε. Den Hergang erzählt Her. IX 71. Zum Ausdruck vgl. VIII 109 ἀκήκοα τοιάδε γενέσθαι ἄνδρας ἐς ἀναγκαίην ἀπειληθέντας νενικημένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν (= reparare) τὴν προτέρην κακότητα.

ἐπενειχθεῖσαν αἰτίην. Vgl. I 27 ἄλλοισι ἄλλας ἐπιφέρων αἰτίας.

γεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.

233 Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο ὑπ' ἀναγκαίης ἐχόμενοι πρὸς τὴν βασιλέος στρατιήν, ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δή, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνόν, ἀποσχισθέντες τούτων χεῖράς τε προέτεινον καὶ ἤϊσαν ἆσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέϊ, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο, καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέϊ· ὥστε ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τῶν λόγων τούτων μάρτυρας. Οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μέν τινας καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτῶν κελεύσαντος Ξέρξεω ἔστιξον στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω, τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτεν ἐφόνευσαν Πλαταιέες στρα-

232. 2. *τῷ — εἶναι.* Ueber den Infinitiv s. z. c. 3.

Παντίτην. Ueber den Casus in der Verbindung *οὔνομά τινι ἔστι* s. z. c. 140.

233. 4. *τέως μέν.* Gegens. *ὡς δὲ εἶδον. τέως μέν* mit folgendem *τέλος δὲ* I 85, mit *μετὰ δέ* I 11.

6. *κατυπέρτερα — γινόμενα τὰ πρήγματα.* Vgl. I 67 *οἱ Σπαρτιῆται κατυπέρτεροι τῷ πολέμῳ ἐγεγόνεσαν* und I 68 *ἐόντες τῷ πολέμῳ κατυπέρτεροι Τεγεητέων.*

7. *οὕτω δή* hebt den Nachsatz hervor. S. z. c. 150.

10. *τὸν ἀληθέστατον τῶν λόγων* wie c. 104.

γῆν καὶ ὕδωρ. S. z. c. 131.

12. *τρώματος. τρῶμα* (attisch *τραῦμα*) clades auch V 120. VI 132.

13. *ὥστε — λέγοντες.* Ueber die Bedeutung von *ὥστε* cum partic. s. z. c. 6.

15. *τά γε πάντα εὐτύχησαν.* Zum Accus. vgl. c. 190 *τἆλλα οὐκ εὐτυχέων.*

17. *τοὺς — ἔστιξον στίγματα. στίζειν τινὰ στίγμα* auch bei Xen. Anab. V 4, 32 *παῖδας τὰ ἔμπροσθεν ἐστιγμένους ἀνθέμια.* Zur Sache vgl. c. 35. Worin das königliche Malzeichen bestanden, ist uns nicht überliefert.

19. *χρόνῳ μετέπειτεν.* Im Frühjahr 431 v. Chr. Genauer erzählt diesen Vorgang, der die Losung zum peloponnesischen Kriege gab, Thukyd. II 2 ff. Etwa 300 thebanische Aristokraten überrumpelten unter der Führung des hier erwähnten Eurymachos nach geschehener Verabredung mit der oligarchischen Partei in Plataeae diese damals athenische Bundesstadt bei nächtlicher Weile, um sie zum boiotischen Bunde zurückzuführen, doch wurden die eingedrungenen nach einem heftigen Straszenkampf überwältigt und 180 derselben, die gefangen genommen waren, von den Plataeern sogleich hingerichtet.

Xerxes Gespräch mit Demaratos und Achaemenes.

τηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.

Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο, 234
Ξέρξης δὲ καλέσας Δημάρητον εἰρώτα ἀρξάμενος ἐνθένδε· Δημάρητε, ἀνὴρ εἶς ἀγαθός. τεκμαίρομαι δὲ τῇ ἀληθείῃ· ὅσα γὰρ εἶπας, ἅπαντα ἀπέβη οὕτω. νῦν δέ μοι εἰπὲ, κόσοι τινές εἰσι οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τούτων ὁκόσοι τοιοῦτοι τὰ πολέμια, εἴτε καὶ ἅπαντες. Ὁ δ' εἶπε· Ὦ βασιλεῦ, πλῆθος μὲν πάντων τῶν Λακεδαιμονίων πολλὸν καὶ πόλιες πολλαί· τὸ δὲ ἐθέλεις ἐκμαθεῖν, εἰδήσεις. ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστά κῃ, καὶ οὗτοι πάντες εἰσὶ ὁμοῖοι τοῖσι ἐνθάδε μαχεσαμένοισι· οἵ γε μὲν ἄλλοι Λακεδαιμόνιοι τούτοισι μὲν οὐκ ὁμοῖοι, ἀγαθοὶ δέ. Εἶπε πρὸς ταῦτα Ξέρξης· Δημάρητε, τέῳ τρόπῳ ἀπονητότατα τῶν ἀνδρῶν τούτων ἐπικρατήσομεν; ἴθι ἐξηγέεο. σὺ γὰρ ἔχεις αὐτῶν τὰς διεξόδους τῶν βουλευμάτων οἷα βασιλεὺς γενόμενος.
Ὁ δὲ ἀμείβετο· Ὦ βασιλεῦ, εἰ μὲν δὴ συμβουλεύεαί μοι προ- 235
θύμως, δίκαιόν μέ σοί ἐστι φράζειν τὸ ἄριστον. εἰ τῆς ναυτικῆς στρατιῆς νέας τριηκοσίας ἀποστείλειας ἐπὶ τὴν Λάκαιναν χώρην. ἔστι δὲ ἐπ' αὐτῇ νῆσος ἐπικειμένη, τῇ οὔνομά ἐστι

Xerxes mishandelt den Leichnam des Leonidas (c. 233—238).

234. 5. *τεκμαίρεσθαί τινι* = *σταθμοῦσθαί τινι* (c. 11. 214).

6. *κόσοι — καὶ ὁκόσοι.* Directes und indirectes Fragepronomen findet sich bei Herodot öfter verbunden. Vgl. I 35. II 115. III 156.

7. *τοιοῦτοι τὰ πολέμια* wie c. 238 *ἀγαθοὶ τὰ πολέμια.* Vgl. c. 111 *ἄκροι τὰ πολέμια.*

10. *Λακεδαίμων* „Lakonien" wie VI 58. Ebenso bezeichnet *Ἀθῆναι* das ganze Land (= *ἡ Ἀττική*) IX 17.

11. *ὀκτακισχιλίων μάλιστά κῃ.* Zur Zeit der lykurgischen Gesetzgebung betrug die Zahl der streitbaren Spartiaten 4000—6000, etwa anderthalb Jahrhunderte später 9000 (Plut. Lykurg c. 8). In der Schlacht bei Plataeae kämpften 5000 Spartiaten (IX 28). — *μάλιστά κῃ* limitiert den Zahlbegriff. Vgl. VIII 65 *ἀνδρῶν μάλιστά κῃ τρισμυρίων.* Aehnlich ob. c. 30. 21. 223.

12. *οἵ γε μὲν ἄλλοι.* Die übrigen Lakedaemonier (Periöken und Heloten). *μέν* att. *μήν.*

14. *ἀπονητότατα. ἀπονητί* auch III 146. VI 24.

15. *ἔχεις αὐτῶν τὰς διεξόδους τῶν βουλευμάτων.* Für *ἔχειν* ist III 156 in derselben Verbindung das synonyme *ἐπίστασθαι* gebraucht: *ἐπίσταμαι δ' αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων.* Vgl. III 130 *ἔχειν τὴν τέχνην.* — *διέξοδοι* steht hier wie III 156 in übertragener Bedeutung, in eigentlicher I 199.

235. 18. *εἰ — ἀποστείλειας* gibt die Antwort auf die Frage *τέῳ τρόπῳ τῶν ἀνδρῶν τούτων ἐπικρατήσομεν.*

20. *ἔστι δέ. δέ* ist wol zu streichen. Vgl. unt. (folg. S. 11) *ἔστι τῆς Πελοποννήσου ἰσθμός.*

Κύθηρα, τὴν Χίλων ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος κέρδος μέζον ἔφη εἶναι Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης καταδεδυκέναι μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι προσδοκέων ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι, οἷόν τι ἐγὼ ἐξηγέομαι, οὔτι τὸν σὸν στόλον προειδὼς, ἀλλὰ πάντα ὁμοίως φοβεόμενος ἀνδρῶν στόλον. ἐκ ταύτης ὦν τῆς νήσου ὁρμεόμενοι φοβεόντων τοὺς Λακεδαιμονίους. παροίκου δὲ πολέμου σφι ἐόντος οἰκηΐου οὐδὲν δεινοὶ ἔσονταί τοι, μὴ τῆς ἄλλης Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ βωθέωσι ταύτῃ. καταδουλωθείσης δὲ τῆς ἄλλης Ἑλλάδος, ἀσθενὲς ἤδη τὸ Λακωνικὸν μοῦνον λείπεται. ἢν δὲ ταῦτα μὴ ποιέῃς, τάδε τοι προσδόκα ἔσεσθαι· ἔστι τῆς Πελοποννήσου ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελοποννησίων συνομοσάντων ἐπὶ σοὶ μάχας ἰσχυροτέρας ἄλλας τῶν γενομένων προσδέκεο ἔσεσθαί τοι. ἐκεῖνο δὲ ποιήσαντι ἀμαχητὶ ὅ τε
236 *ἰσθμὸς οὗτος καὶ αἱ πόλιες προσχωρήσουσι. Λέγει μετὰ τοῦτον Ἀχαιμένης ἀδελφεός τε ἐὼν Ξέρξεω καὶ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς, παρατυχών τε τῷ λόγῳ καὶ δείσας, μὴ ἀναγνωσθῇ Ξέρξης ποιέειν ταῦτα· Ὦ βασιλεῦ, ὁρέω σε ἀνδρὸς ἐνδεκόμενον λόγους, ὃς φθονέει τοι εὖ πρήσσοντι ἢ καὶ προδιδοῖ πρήγματα τὰ σά. καὶ γὰρ δὴ καὶ τρόποισι τοιούτοισι χρεόμενοι οἱ Ἕλληνες χαίρουσι· τοῦ τε εὐτυχέειν φθονέουσι*

1. *Κύθηρα.* Der Besitz dieser am Eingang des lakonischen Meerbusens gelegenen Insel war für Sparta von groszer Wichtigkeit; als die Athener unter Nikias dieselbe im peloponnesischen Kriege erobert hatten (424 v. Chr.) und von dort aus die Küsten Lakoniens verheerten, machten die Spartaner ihre Herausgabe zur ersten Friedensbedingung (Thuk. IV 52. 53. 118).

Χίλων gehört zu den sieben Weisen (I 59).

3. *μᾶλλον ἤ* nach dem Comparativ (*μέζον*) wie c. 50 noch *κρέσσον*. S. z. dies. Stelle.

5. *ἐκ ταύτης τῆς νήσου ὁρμεόμενοι.* Vgl. VIII 113 *ἐξ Ἄνδρου ὁρμεόμενος*. Häufig so *ἐνθεῦτεν ὁρμεόμενοι*.

6. *φοβεόντων* ist Imperativ.

7. *οἰκηΐου. πόλεμος οἰκήϊος* ist ein Krieg, der die Spartaner unmittelbar betrifft und ihnen so viel zu tun macht, dasz sie dem übrigen Hellas keine Hülfe leisten können.

10. *ἀσθενὲς ἤδη. ἤδη* hat hier wie c. 184 folgernde Kraft.

11. *ἔστι.* Das Asyndeton wie oben.

13. *συνομοσάντων ἐπὶ σοί.* Zum Ausdruck vgl. c. 148 *οἱ συνωμόται ἐπὶ τῷ Πέρσῃ*. Ueber *ἐπὶ* cum dat. s. z. c. 132.

14. *προσδέκεο*, dafür kurz vorher *προσδόκα*. *προσδέκεσθαι* auch c. 156.

236. 16. *Ἀχαιμένης.* Vgl. c. 7. 97.

18. *ἀναγνωσθῇ, ἀναπεισθῇ*. S. c. 7.

19. *ἐνδέκεσθαι* steht in gleicher Bedeutung c. 237. Ebenso V 96. VI 121.

20. *καὶ γὰρ καί* ist auch VI 108 verbunden.

καὶ τὸ κρέσσον στυγέουσι. εἰ δ' ἐπὶ τῇσι παρεούσῃσι τύχῃσι, τῶν νέες νεναυηγήκασι τετρακόσιαι, ἄλλας ἐκ τοῦ στρατοπέδου τριηκοσίας ἀποπέμψεις περιπλώειν Πελοπόννησον, ἀξιόμαχοί τοί γίνονται οἱ ἀντίπαλοι· ἁλὴς δὲ ἐὼν ὁ ναυτικὸς στρατὸς δυσμεταχείριστός τε αὐτοῖσι γίνεται, καὶ ἀρχὴν οὐκ ἀξιόμαχοί τοι ἔσονται, καὶ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει καὶ ὁ πεζὸς τῷ ναυτικῷ ὁμοῦ πορευόμενος· εἰ δὲ διασπάσεις, οὔτε σὺ ἔσεαι ἐκείνοισι χρήσιμος οὔτε ἐκεῖνοι σοί. τὰ σεωυτοῦ δὲ τιθέμενος εὖ γνώμην ἔχε τὰ τῶν ἀντιπολέμων μὴ ἐπιλέγεσθαι πρήγματα, τῇ τε στήσονται τὸν πόλεμον, τά τε ποιήσουσι, ὅσοι τε πλῆθος εἰσί. ἱκανοὶ γὰρ ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν πέρι φροντίζειν εἰσὶ, ἡμεῖς δὲ ἡμέων ὡσαύτως. Λακεδαιμόνιοι δὲ ἢν ἴωσι ἀντία Πέρσῃσι ἐς μάχην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀνιεῦνται. Ἀμείβεται Ξέρξης τοισίδε· Ἀχαίμενες, εὖ τέ μοι δο- 237
κέεις λέγειν καὶ ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν τὰ ἄριστα ἔλπεται εἶναι ἐμοὶ, γνώμῃ μέντοι ἑσσοῦται ὑπὸ σεῦ. οὐ γὰρ δὴ ἐκεῖνό γε ἐνδέξομαι, ὅκως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι πρήγμασι, τοῖσί τε λεγομένοισι πρότερον ἐκ τούτου σταθμώμενος καὶ τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθο-

1. τὸ κρέσσον erkläre nach τὸ ὑγιαῖνον (c. 157), τὸ ὑπομένον (c. 209), τὸ ἀπολλύμενον (c. 223).

ἐπὶ τῇσι — τύχῃσι. Die Bedeutung von ἐπί „auszer, zu" ergibt sich aus dem folgenden ἄλλας — ἀποπέμψεις. Nahe an diese Bedeutung von ἐπί streift die temporale. S. z. c. 19.

2. τῶν. So die Handschriften. Vermutlich ist ἐκ ausgefallen.

ἐκ τοῦ στρατοπέδου. τὸ στρατόπεδον wird auch von der Flotte gebraucht.

8. ἐκείνοισι, den nach Kythera geschickten.

9. γνώμην ἔχειν „einen Entschluss fassen" hier mit folgendem Infinitiv. Anders II 27. IV 31.

ἀντιπολέμων. ἀντιπόλεμος = πολέμιος. Unattisch. Wie hier IV 134. 140.

ἐπιλέγεσθαι. S. z. c. 10, VIII.

10. τῇ τε στήσονται πόλεμον. Vgl. c. 175.

13. τρῶμα wie c. 233.

ἀνιεῦνται von ἀνιᾶσθαι wieder gut machen (aus ἀνά u. ἰᾶσθαι heilen). Ueber die Contraction s. Bd. I Dial. S. 37. Zur Bedeutung von ἀνά vgl. ἀναλαμβάνειν c. 231 und V 121 τοῦτο τὸ τρῶμα ἀνέλαβον. — Uebrigens ist das Praesens hier in ziemlich ungewöhnlicher Weise für das Futur. gebraucht.

237. 17. ἐνδέξομαι. ἐνδέκεσθαι in gleicher Bedeutung c. 236.

ὅκως οὐκ εὐνοέει. ὅκως steht auch bei Herodot zuweilen für ὡς oder ὅτι. Vgl. II 49 οὐ μὲν φήσω, ὅκως Αἰγύπτιοι παρ' Ἑλλήνων ἔλαβον τοῦτο τὸ νόμαιον.

18. τοῖσι λεγομένοισι. Wir erwarteten ein Participium der Vergangenheit (zumal da πρότερον folgt); doch vgl. c. 209 τὰ λεγόμενα und I 134 κατὰ λόγον τὸν λεγόμενον. — ἐκ τούτου ist mit λεγομένοισι zu verbinden; über ἐκ beim Passiv s. z. c. 11.

σταθμοῦσθαί τινι. S. z. c. 10, II.

19. τῷ ἐόντι. Ueber die Bedeutung von τὸ ἐόν s. z. c. 209.

νέει καὶ ἔστι δυσμενὴς τῇ σιγῇ, οὐδ᾽ ἂν συμβουλευομένου τοῦ ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστά οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι, σπάνιοι δ᾽ εἰσὶ οἱ τοιοῦτοι, ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντί ἐστι εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. οὕτω ὦν κακολογίης πέρι τῆς ἐς Δημάρητον, ἐόντος ἐμοὶ ξείνου, ἔχεσθαί τινα
238 τοῦ λοιποῦ κελεύω. Ταῦτα εἴπας Ξέρξης διεξήϊε διὰ τῶν νεκρῶν, καὶ Λεωνίδεω, ἀκηκοὼς ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευσε ἀποταμόντας τὴν κεφαλὴν ἀνασταυρῶσαι. δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ μάλιστα ἀνδρῶν ἐθυμώθη ζώοντι Λεωνίδῃ· οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρενόμησε, ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι τῶν ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ

1. *τῇ σιγῇ* „durch sein Stillschweigen.“ Gedanke: Da ein Bürger den anderen, der in glücklicheren Verhältnissen lebt als er selbst, beneidet, so wird er, wenn er um seinen Rat gefragt wird, das was er sich als das Beste denkt, für sich behalten, es müste denn ein Mann von sehr seltener Tugend sein (*εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι*). Anders steht es mit dem *ξεῖνος*. Vgl. im Folgenden *ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντί ἐστι εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα.*

τοῦ ἀστοῦ = *τοῦ πολιήτεω.*

2. *ὑποθέοιτο. ὑποτίθεσθαι*, raten, steht in gleicher Bedeutung V 92. VI 57.

3. *πρόσω ἀρετῆς ἀνήκοι*. Vgl. c. 134 *χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα.* Aehnlich c. 9 *οὐκ ἐς τοῦτο θράσεος ἀνήκει.* Wie an unserer Stelle *πρόσω*, so ist III 154 *τὸ πρόσω* mit Genetiv verbunden (*ἐς τὸ πρόσω τοῦ μεγάθεος*).

5. *κακολογίης πέρι. περί* cum genet. steht häufig im Anfang eines Satzes ohne einen Zusatz in der Bedeutung was anlangt, betrifft. Vgl. c. 102 *ἀριθμοῦ δὲ πέρι μὴ πύθῃ, ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι.*

6. *ἐόντος ἐμοὶ ξείνου*. Statt des Accusativus (*ἐόντα*) mit Beziehung auf *Δημάρητον* ist der genetiv. absol. gewählt, weil so das Causalverhältnis, in welchem diese Worte zu dem folgenden Satze *ἔχεσθαι — κελεύω* stehen, deutlicher u. selbständiger hervortritt. Aehnlich IV 97 *σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι πάντως.* In dieser Stelle tritt durch den genet. absol. die Thatsache als Zeitbestimmung selbständiger hervor.

ἔχεσθαι sc. *τῆς κακολογίης*. Zur Bedeutung von *ἔχεσθαι* c. genet. s. z. c. 169. — Ueber *τινὰ* s. z. c. 5.

7. *τοῦ λοιποῦ* temporal = in posterum. Wie hier III 15. Vgl. die ähnlichen Genetive *ὀλίγου χρόνου* binnen kurzer Zeit III 134, *χρόνου τοσούτου* im Verlauf von so viel Zeit II 128. Gleichbedeutend mit *τοῦ λοιποῦ* ist *τὸ λοιπόν* c. 104.

238. 8. *Λεωνίδεω* ist von *κεφαλήν* abhängig.

10. *δῆλά μοι*. Ein hartes Asyndeton; wahrscheinlich ist nach *δῆλα* ein *δέ* oder *νυν* oder *ὦν* (c. 137) ausgefallen. Ueber den Plural (*δῆλα*) s. z. c. 2.

ἐν δὲ καὶ τῷδε. Ueber *ἐν δὲ καί* nach *ἄλλος* s. z. c. 224.

13. *ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι*. Vgl. z. B. c. 181.

14. *ἀγαθοὺς τὰ πολέμια*. S. z. c. 234 (*τοιοῦτοι τὰ πολέμια*).

πολέμια. Οἱ μὲν δὴ ταῦτα ἐποίευν, τοῖσι ἐπετέτακτο ποιέειν.
[Ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου, τῇ μοι πρότερον ἐξέλιπε. Ἐπύ- 239
θοντο Λακεδαιμόνιοι, ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα, πρῶτοι, καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ ὀλίγῳ πρότερον εἶπον· ἐπύθοντο δὲ τρόπῳ θωυμασίῳ. Δημάρητος γὰρ ὁ Ἀρίστωνος φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι, πάρεστι δὲ εἰκάζειν, εἴτε εὐνοίῃ ταῦτα ἐποίησε εἴτε καὶ καταχαίρων· ἐπείτε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος καὶ πυθόμενος ταῦτα ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι. ἄλλως μὲν δὴ οὐκ εἶχε σημῆναι· ἐπικίνδυνον γὰρ ἦν, μὴ λαμφθείη· ὁ δὲ μηχανᾶται τοιάδε· δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτεν ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην, ποιήσας δὲ ταῦτα ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο ἐπιφρασθεῖσα αὐτὴ, τὸν κηρὸν κνᾶν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. πειθόμενοι δὲ εὗρον καὶ ἐπελέξαντο. ἔπειτεν δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν. Ταῦτα μὲν δὴ οὕτω λέγεται γενέσθαι].

1. τοῖσι ἐπετέτακτο ποιέειν. S. z. c. 39 (τοῖσι προσετέτακτο ταῦτα πρήσσειν).

239. Schon Krüger hat c. 239 als ein ungehöriges Einschiebsel erkannt, welches vielleicht von derselben Hand wie VI 122 herrührt. Es schlieszt dieses Capitel in einer höchst gewaltsamen Weise an c. 220 an und ist zudem seinem äusserst unglaubwürdigen Inhalt nach offenbar den beiden ganz ähnlichen Erzählungen I 123. V 35 nachgebildet, wie auch die oft wörtlich übereinstimmenden Wendungen verraten; dazu kommt, dasz die ganze Darstellung ungeordnet und verworren, dasz einzelne Ausdrücke und Wendungen ganz ungewöhnlich sind. Als Beispiel kann gleich die Eingangsformel ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου dienen, welche Herodot stets anwendet, wenn er nach einer eingeschobenen Episode die Haupterzählung wieder aufnimmt (vgl. c. 137 ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον und I 140), während dieselbe Wendung hier gebraucht ist, um eine an sich unglaubhafte Geschichte an einem ungehörigen Orte einzuschalten. Den Beweis der Unechtheit im einzelnen weiter durchzuführen, ist hier nicht der Ort.

Verzeichnis der wichtigsten Abweichungen*) vom Texte der Teubner'schen Ausgabe.

Die Lesarten vor der Klammer sind die der Teubner'schen Ausgabe.

Buch VII.

c. 3. *δοκέειν — ἐβασίλευσε*] *δοκέει — βασιλεῦσαι* Flor.
c. 5. *ἀλλά*] *ἀλλ' εἰ* MPKF.
c. 10. *παρεόντος*] *παρεόντι* MPKF.
c. — *κατηγορέων*] *ἐπηγορέων* Ab.
c. 15. *καλέοντα* eingeklammert mit Valckenaer.
c. 26. *ἐν τῇ πόλι* eingeklammert mit Valckenaer.
c. 60. *πλήθεος ἀριθμόν*] *πλῆθος ἐς ἀριθμόν* MPKF.
c. 133. *Ξέρξης*] *ὁ Πέρσης* MPKF.
c. 140. *Ἀσιηγενές*] *Συριηγενές* MPKF.
c. 154. *ὅς* ist mit Reiske gestrichen.
c. 157. *μεγάλης*] *μεγάλως* Reiske.
c. 162. *οὗτος — εἴη* mit Wesseling gestrichen.
c. 167. *ὡς Συρηκόσιοι*] Mediceus: *ὡς Καρχηδόνιοι καὶ Συρηκόσιοι.* Ab.: *Καρχηδόνιοι.*
c. 203. *πεσεῖν ἄν*]. *ἄν* mit Krüger eingeklammert.
c. 207. *περισπερχεόντων*] *περισπερχθέντων* Valckenaer.
c. 221. Die besten Handschriften: *γέγονε, ὅτι καὶ τὸν μάντιν* (mit Auslassung der Worte: *οὐ γὰρ μοῦνον τοὺς ἄλλους ἀλλά*).
c. 236. *τῷ*] *τῶν* alle Handschriften.


In dem kritischen Appendix zu den drei ersten Bänden dieser Ausgabe (Buch I—VI) sind von mir 6 Lesarten irrtümlich dem Mediceus zugeschrieben, von denen zwei, nämlich I 51 *ἅμα τοῖσι* und IV 66 *τοῖσι δή*, durch andere Handschriften überliefert, zwei andere dagegen, nämlich I 185 *καταπλώοντες τὸν Εὐφράτην* (ohne *ἐς*) und II 154 *ἐν τούτοισι δέ* Conjecturen von Lhardy und Eltz sind. — Ferner ist in dem kritischen Anhange zum ersten Bande statt I 6 zu lesen I 76, wo der Mediceus *Συρίων* bietet (dagegen *Σύρων* I 6), ebenso ist ebendaselbst I 134 irrtümlich *ἐντυγχάνοντας* als Lesart des Mediceus angeführt, während derselbe in Wirklichkeit *ἐντυγχάνοντες* bietet. Endlich hat der Mediceus (wie alle übrigen Handschriften) I 143 nach *πολλῷ* noch ein *δέ*, so wie III 155 vor *ἔπειτεν* noch ein *καί*. — Die Berichtigung dieser Errata verdanke ich einem Aufsatze in den N. Jahrb. für Phil. 1863 p. 623. 624;

*) Die zahlreichen dialectischen Aenderungen sind nicht mit aufgeführt; die Erklärung derselben gibt die Uebersicht über den Dialekt in Band I.

nachdem ich mich von der Richtigkeit jener kritischen Corrigenda durch eine erneute Vergleichung des Mediceus an Ort und Stelle (im Sommer 1864) überzeugt habe, erfolgt jetzt deren Berichtigung meinerseits. Unrichtig dagegen ist die Angabe desselben Kritikers, dass in der letzten der von ihm angeführten Stelle (IV 136) im Mediceus „*διοίχ*$\overset{H}{\cdot}$*νται*“ stehe; an jener Stelle steht vielmehr klar und deutlich: *διοίχ*$\overset{\cdot H \cdot}{o}$*νται* (vgl. auch Philol. XXI 85). Ebenso kann ich jetzt die Genauigkeit sämmtlicher übrigen mediceischen Lesarten, welche als solche in den vier Bänden dieser Ausgabe aufgeführt sind, mit zweifelloser Gewissheit verbürgen. Dass endlich auch alle diejenigen Lesarten des Mediceus, welche ich in meinen Abhandlungen im Philol. X 710 ff., IX 271 ff., XII 201 ff., XXI 78 ff., so wie in den Quaest. de dial. Herod. 1859, endlich in den Cur. Herodot. 1862 angeführt habe, richtig angegeben sind, hat sich mir aus der dritten Vergleichung jener Handschrift mit Evidenz ergeben.

MAKEDONIEN
Emathia
Agrianes
Paitoi
Apsinthos
Eordaioi
Bermios Geb.
Lydias
Bottiaioi
Elimeia
Haliakm
Kambanische Geb.
Pieros Geb.
Agora
Kardia
PROPONTIS
Lampsakos
Perrhae
THESSA
Europos
Apid.
Antandros
Adramyttion
MYSIEN
Pindos
Epeiros
Aenianen
Othry
Atarneus
Kaikos
Malis
Spercheio
Oeta
Trachis
Phokaia
Sardes
Hermos
Paktolos
Doris
Parna
Delphi
Aetol.
Akarnan.
Mb. v. Smyrna
Smyrna
Klazomenai
LYDIEN
Tmolos
Korinth. M
PELOPON
Kayster
Maiander

Weg der Flotte.
Weg des Landheers.



Karte zum Zug des Xerxes. (Her: VII. 37. ff.)



Lith. Anst. v. M. Singer, Leipzig

Karte der Thermopylen. (Her. VII. 176. 198. 200. 216).



Lith. Anst. v. M. Singer in Leipzig.


UNIVERSITY OF ILLINOIS-URBANA
3 0112 114887737